CHRESTOMATHIA PATRISTICA.

PARS II.

SELECTA

PATRUM ECCLESIAE GRAECAE;

in usum lectionum Academicarum;

collegit

HERM. JOH. ROYAARDS,

THEOL. DOCT. ET PROF.

TRAJECTI AD RHENUM,

APUD JOH. ALTHEER,

ACADEMIAE TYPOGRAPHUM.

MDCCCXXXVII.

DISCIPULIS CARISSIMIS

S. P. D.

HERM. JOH. ROYAARDS.

Non est, quod, Vobis non salutatis, secundam hancce in lucem proferam Chrestomathiae Patristicae *partem, quae tandem, post sex fere annorum spatium, priorem illam excipit. Novi sane Patristicam non in iis censendam esse historico-theologicis disciplinis, quae a plurimis adeo Theologiae studiosis pertractari solet. Pauci sunt vulgo, qui ad interiora haecce sacra penetrare conentur. Veruntamen, quotquot erectioris sunt indolis Theologi, hi ad ea non accedere, dedocoris sibi ducunt et detrimenti. Vos igitur novistis (nam in his Vos equidem censeo), nullam facile disciplinam Theologicam rite pertractari*

posse, nisi adhibitis Patrum Ecclesiae scriptis. Haec Historiae Ecclesiasticae et Dogmatum fundamenta ponunt, Exegesi sacrae subsidia afferunt, in Theologiae dogmaticae studio divina ab humanis secernere docent; Ethicam Christianam illustrant quam maxime. Haud mirum igitur, eam esse, his ipsis nostris temporibus, Theologiae historicae conditionem, id ejus pretium atque momentum, ut absque ejus cognitione nullus rite informetur veri nominis Theologus. Jam vero a longo inde tempore viguit in Patria nostra Patristices studium: quo factum, ut in ditissimis, iisque publicis, Bibliothecis patriis, optimae invenirentur editiones Patrum; inprimis vero, quod majus est, ut assidue legerentur et suos in usus a nostratibus converterentur Patrum scripta. Illorum, qui prae ceteris praestiterunt, nomina recensere, longum sit; una excitemus nomina, in Patria aeque atque apud exteros clara, Grotii, Venemae, Segarii: cetera taceo. Haec Vos vestigia legite, o boni! quotquot non ea studiorum ratione contenti estis, quae unice versatur in illis addiscendis disciplinarum theologicarum elementis, quorum notitia necessario requiritur in instituendis probationibus sive Academicis, sive Ecclesiasticis, verum in ipsius Theologiae sacrarium penetrare enitimini.

Quodsi vero e me quaeritis, qua ratione optime studium Patristicum academicum instituatur, responsum fere in promtu est: variis modis bene fit; *neque is ego sum, qui certis quibusdam, iisque stricte definiendis, limitibus et regulis illud describam. Quisque suo indulgeat ingenio; trahat sua quemque voluntas suaeque ipsius naturae studiis quisque ducatur. Vel sic tamen sunt certa quaedam adminicula, satis idonea ad bene regundum hoc studium.*

Ut rite igitur, in legendis Patrum Ecclesiasticorum scriptis, proficiat futurus Theologus (ne dicam de Literatoribus et Jureconsultis), incipiat ab Historia Litteraria Patrum, eorumque, ut ita dicam, Genealogia, ne hospes plane sit et peregrinus in campo, in quo exspatiabitur. Noscat et intelligat omnino, quaenam sint variae Patrum constituendae classes; quatenus differant a Patribus Apostolicis Ecclesiae Patres; quomodo Alexandrini Patres ab Antiochenis, hi iterum a Latinis sint discernendi; in hisce vero peculiarem attendat conditionem et characterem Patrum Afro-Latinorum atque Europaeo-Latinorum, licet subinde unam eandemque retulerint rationem. — Alexandrinos cum significo et Antiochenos, item et Latinos, non adeo loca

indico, ubi sive nati fuerint, sive vixerint deinceps; quippe haud raro ab uno ad alium locum processerunt. Et haec quidem ad externa referuntur. Verum ita jure dici solent a Schola, s. Ecclesia, Alexandrina, Antiochena, Latinave, cujus retulerunt rationem, doctrinam, studia. Simul vero, ne animadvertere negligat, quaenam fuerit peculiaris uniuscujusque Scholae, s. Ecclesiae, ratio, doctrina, methodus; verbo: character peculiaris; quomodo a se invicem discernantur, quaenam habeant communia, quomodo principia, studia, dogmata unius Ecclesiae in altera fuerint exculta, atque explicita. Hacce notitia imbutus viam sibi parabit ad scriptorem, quem legere instituit, recte intelligendum. Sic enim noverit, ad quamnam sit referendus Patrum classem, et dijudicare poterit, quaenam sint ipsi propria, quaenam habeat cum ceteris ejusdem Ecclesiae Patribus communia.

Notitia hacce historico-theologica imbutus accedat ad lectionem horum illorumve scriptorum. Hoc vero, ut rite fiat, illud potissimum juvat attendere, ne promiscue legantur varia auctoris scripta, at certo potius ordine, ita ut ne accedat quispiam ad auctorum scripta legenda, nisi aliquam saltem contraxerit cum eo familiaritatem, ac noverit, quis et cujas fuerit, quanam usus institutione, quomodo ad ipsam, vel profitendam,

vel docendam Religionem Christianam pervenerit, quosnam habuerit Religionis doctores, quaenam fuerint temporibus, quibus vixit, sententiae, dogmata, quae imprimis regnarent, quo ordine scripta dederit; quaenam fuerint, sive auxilia, sive invitamenta, quae eum ad scribendum impulerint. Haec, quaeque sunt hujus generis plura, in legendis eorum scriptis nisi noverit, parum proficiet; peregrinatoris instar, qui aliarum, quas adit, regionum nullam habet notitiam, inscius prorsus quorsum terrarum sese converterit.

Haec quidem omnia ad προπαιδεύσιν *studii patristici academici referuntur. Ad ipsum illud accedat futurus Theologus, rite praeparatus a Graecae Latinaeque linguae peritia, in auxilium vocatis Graecitatis vel Latinitatis, quae vulgo dicitur, Ecclesiasticae interpretandae subsidiis; qualia in Stephani, Suiceri, Du Cangii, Carpentierii aliorumque Glossariis et Thesauris habentur. Sic institutus, ipse legat et relegat continuo unum alterumve auctorem, ut majorem cum eo contrahat familiaritatem, continuo animadvertat propriam ejus cogitandi, dicendi, scribendi, philosophandi, interpretandi rationem; ut secum invicem conferat varia auctoris scripta; ab uno ad alterum procedat Ecclesiae patrem, ab Apologeta ad Philosophum, ab Historico ad Homiletam Sacrum, ab Interprete ad Theologum. Porro,*

saepe recurrat in idem, ut relegendo in succum et sanguinem vertat Auctorem.

His aliisque vestris usibus ut inservirem inque vobis excitarem studium legendorum scriptorum, a Patribus, cum Apostolicis, tum Ecclesiae, congestorum, Chrestomathiam *hancce* Patristicam *condere institui. Ita enim me duplici modo vobis consulturum, mihi persuasi.* Primum *quidem in usum lectionum Academicarum eam destinavi. Est enim ea hodieque disciplinae theologicae, in Academiis instituendae, ratio, ut necessario requirantur Scholae Patristicae. Hae enim* tum *tironibus opportunitatem praebent ex Patrum scriptis eam haurire notitiam, quae cuique convenit Theologo, rite instituto;* tum *vero eos ulterius excitare possunt ad studium Patristicum deinceps uberius colendum. Hoc enim* deinde *hacce Chrestomathia edenda spectavi. Spem fovi fore, ut hic illic juvenes, quibus nec temporum, neque rerum, opportunitates prohiberent, selectis hisce Patrum locis legendis, excitarentur, ut strenue in illud incumberent.*

De ipso hujus libelli consilio ac ratione antea Vos monui, in Praefatione Partis primae. Nec juvat ea repetere. — In hoc autem secundo fasciculo Patrum Graecorum characterismum, ut

ita dicam, ex ipsis eorum scriptis adumbrare studui. Ea propterea selegi loca, quibus notantur scriptores, quaeque referunt peculiare Patrum consilium et ingenium, peculiares ipsis dotes atque virtutes, indolem fere propriam privamque, ut veluti ex ungue leonem cognoscant commilitones. Quod quidem paucis vobis explicare lubet. Cum enim Justinum Martyrem Apologetam inprimis novimus, ea propterea selegi loca, quae, sive Apologiam quandam integram, scilicet secundam, quae brevior est, continent, sive e longiori prima Apologia, illa loca, quae crimina recensent, falsa licet, Christianis imputata, et illius aevi in Christiana Ecclesia ritibus cultuque explicandis significarent, quantam lucem afferant Apologetae ad cognoscendam, cum externam, tum internam Ecclesiae Christianae conditionem. Hisce vero loca addidi ex Athenagorae πρεσβεία selecta, quae opportunitatem praebeant utrumque huncce Apologetam secum invicem comparandi. Novistis autem eundem illum Athenagoram potissimum celebrari Philosophum Christianum; jam quonam argumentandi genere usus sit et quomodo his suis partibus functus sit, intelligere licet ex iis, quae ex illius libro de resurrectione mortuorum *selegi. Quamnam vero qualemque vim habuerit in Patres Graecos Alexandrinos Philosophia Graeca, cum*

ipsa haece loca, tum maxime Clemens ille Alexandrinus, quem unum prae ceteris celebrarunt Philosophum Neo-platonicum Christianum, docent. Ad huncce significandum valere poterunt, ni fallor, loca ex ipsius scriptis allata. Maxime vero in Clementis Stromatibus duo occurrunt loca, quae Philosophiae et Theologiae Clementinae propria dicuntur, quaeque praecipue in iis dominantur; vinculum dico Religionem inter et Philosophiam; ejusque de vero Gnostico, Gnostico ψευδωνύμῳ opposito, sententiae. Uti aliis, ita allatis maxime locis, suam de hisce mentem explicuit Clemens. — Ne autem nimia mole incresceret hicce libellus, summi interpretis et critici, Origenis aliorumque selecta praeterire, fui coactus.

Eadem autem prohibuit causa, quominus plura adderem Selecta Patrum Antiochenorum, quo nomine quosnam significem, modo exposui. Vel sic tamen duplicis generis Auctores praetermittendi mihi non videbantur. Chrysostomi enim, qui solis instar inter sidera minora fulget atque splendet, unius in paucis maxime ratio erat habenda. Quales ita habuerit Homilias cum de ipso Evangelii argumento, tum ad sedandos tumultuosos Christianorum mores, facile patebit, in lucem protractis duabus Homiliis, prae ceteris celebratis. Haec vos Exemplaria intueamini, o boni! ut vim

sentiatis sententiae: »pectus est, quod disertum facit." *Disertissimus vero Homileta simul Homiletices dedit praecepta, pii animi testes, nostrisque temporibus a futuris Evangelii nunciis rite aestumandis, in egregio illo* de Sacerdotio *libro. In his, quae selegi, loca diserte vos monent de Homiliis popularibus juste conscribendis. Quae si attendatis praecepta, virtuti Christianae inservire poterunt, Deo auspice, Homiliae vestrae.*

Huic autem Christianorum Demostheni adjungendus erat alius prorsus generis scriptor, qui Historiae Ecclesiasticae Parens jure meritoque habetur; Eusebium dico. Primum, quod unquam exstitit, Historiae Ecclesiasticae conscribendae consilium, et dogmaticas suas de Jesu Christo sententias, ipse allatis locis exposuit. Verum jam antea, in prima hujus Chrestomathiae parte, ex primario hocce opere Eusebiano plura communicavi; quapropter juvabat potius ex alio opere, quod ipse Vitam Constantini, *posteri vero Cyropaediam quandam Christianam continere judicabant, ea seligere loca, quae ad Constantini Vitam cognoscendam inprimis valent. Alia, in his edicta Constantini in gratiam Christianorum, lubenter addidissem, nisi jam satis mole sua increvisset Chrestomathia.*

Habetis consilium, carissimi discipuli! quo inductus sum ad illa seligenda loca, quae Vobis hic offero. Ut verbo dicam: selectis hisce locis notas characteristicas praecipuorum quorundam Patrum Graecorum indicavi, quibus potissimum ab aliis discernerentur. Propterea Apologetas significavi Justinum Martyrem et Athenagoram; Philosophos, uti huncce, ita maxime Clementem Alexandrinum, quem Doctorem Christianum ipse ejus refert Paedagogus; Oratorem disertissimum, Chrysostomum, eundemque Homiletices praeceptorem; Historicum vero Eusebium.

Facile animadvertet unusquisque vestrum, paulo sagacior, me textum Graecum depromsisse ex optimis, quae exstant, variorum Patrum editionibus. JUSTINI MARTYRIS *et* ATHENAGORAE *secutus sum editionem Benedictinorum Sancti Mauri (Parisiis 1742):* CLEMENTIS ALEXANDRINI *editionem* Potterianam *(Oxonii 1715);* CHRYSOSTOMI *editionem recentissimam Parisinam (quae Parisiis et Lipsiae ab anno inde 1835 edi coepit, et editionem praestantissimam Montefalconii Benedictinam emendavit);* EUSEBIANI *vero textus recensionem, quam nuper procuravit Doct.* Heinichen *(Lips. 1827, 1830). Tardius autem, quam putaveram, in lucem prodiit hicce*

fasciculus. Hanc enim nonnisi horis subsecivis, in mediis vitae Academicae laboribus, absolvere licuit; utque justus instituerelur delectus, conferenda continuo inter se erant varia Patrum scripta. Quodsi vero consilio satisfaciat hicce delectus, valeat sententia: sat cito, si sat bene.

Est vero, quod haece opportunitate Vestrum nonnullis gratias agam, qui opem mihi ferre non recusarunt in typis Graecis mecum corrigendis, quique, accurate in hisce dum versarentur, oculis meis pepercerunt, quibus injuriam haud raro affert iterata Graecorum typorum correctio. In his, uti alii subinde, ita maximam partem mihi sublevarunt, cum antea Gerardus Molenkamp, *jam Verbi Divini Minister apud Risvicenses, tum nuper commilito noster,* Enno Kreling van Goudoever, *uterque discipulus, ille quondam, hic hodieque, mihi dilectissimus.*

Quodsi deinceps in scholis Patristicis hacce Chrestomathia *utemur, opportunitatem mihi praebebit illa, patriam, gentem, fata, scripta, doctrinam, sentiendi cogitandique rationem Variorum Patrum, quorum loca explicaturi sumus,*

illustrandi, Vosque, uti spero, in ipsa Patristices penetralia inducendi. Illud vero praeterea mihi in Votis est, o boni! ut Vos ipsi, una cum aliis quam plurimis, selectis hisce invitemini, qui horum Patrum scripta integra diligenter perlegatis. — Sin autem animadvertam, hosce meos qualescunque conatus non irritos fuisse, et aliquatenus valuisse Chrestomathiam hancce ad excitandum omni suo ambitu studium Theologiae historicae, quod mihi curae est cordique, non me poenitebit operis, sensim paulatimque instituti; eoque excitabor, ut, Deo favente, postea tertium fasciculum huic adjungam, qui Selecta contineat Patrum Latinorum.

Ceterum valete! Studiis vestris ita propitius annuat Deus O. M., ut vita vestra Academica inserviat informandis Theologis et Ecclesiasticis peritis atque doctis; neque tamen doctis tantum, simul vero, quod majus est, piis probisque; iterum valete. — Scribebam in Academia Rheno-Trajectina, idibus Martii, a. MDCCCXXXVII.

CONSPECTUS.

SECTIO PRIOR.

Patres Graeci Alexandrini.

SECTIO ALTERA.

Patres Graeci Antiocheni.

Erratum.

p. 51. pro III. legatur IV.

III.

SELECTA

PATRUM ECCLESIAE GRAECAE.

SECTIO PRIOR.

PATRES GRAECI ALEXANDRINI.

SELECTA

PATRUM ALEXANDRINORUM.

I.

E Justini Martyris Apologiâ I.
(ed. *Benedict.* s. *Mauri*, Par. 1742.)

---

1. *Introitus Apologiae.*

ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ

Απολογία πρώτη ὑπὲρ Χριστιανῶν, πρὸς Αντωνῖνον τὸν Εὐσεβῆ.

§. 1. ΑΥΤΟΚΡΑΤΟΡΙ Τίτῳ Αἰλίῳ Αδριανῷ Αντωνίνῳ εὐσεβεῖ σεβαστῷ Καίσαρι, ΟΥηρισσίμῳ υἱῷ Φιλοσόφῳ, καὶ Λουκίῳ Φιλοσόφῳ Καίσαρος φύσει υἱῷ, καὶ εὐσεβοῦς εἰς ποιητῷ, ἐραστῇ παιδείας, ἱερᾷ τε συγκλήτῳ, καὶ δήμῳ παντὶ Ρωμαίων, ὑπὲρ τῶν ἐκ παντὸς γένους ἀνθρώπων ἀδίκως μισουμένων καὶ ἐπηρεα-

ῥεαζομένων, Ἰουστῖνος Πρίσκου, τοῦ Βακχείου, τῶν ἀπὸ Φλαουΐας νέας πόλεως τῆς Συρίας, Παλαιστίνης, εἷς αὐτῶν, τὴν προσφώνησιν καὶ ἔντευξιν πεποίημαι.

---

2. *Christiani, male habiti.*

(§. 2.) Τοὺς κατὰ ἀλήθειαν εὐσεβεῖς καὶ φιλοσόφους μόνον τἀληθὲς τιμᾶν καὶ στέργειν ὁ λόγος ὑπαγορεύει, παραιτουμένους δόξαις παλαιῶν ἐξακολουθεῖν ἂν φαῦλαι ὦσιν. οὐ γὰρ μόνον μὴ ἕπεσθαι τοῖς ἀδίκως τὶ πράξασιν ἢ δογματίσασιν ὁ σώφρων λόγος ὑπαγορεύει· ἀλλ᾽ ἐκ παντὸς τρόπου, καὶ πρὸ τῆς ἑαυτοῦ ψυχῆς τὸν φιλαλήθη, κἂν θάνατος ἀπειλῆται, τὰ δίκαια λέγειν τε καὶ πράττειν αἱρεῖσθαι δεῖ. ὑμεῖς μὲν οὖν ὅτι λέγεσθε εὐσεβεῖς καὶ φιλόσοφοι, καὶ φύλακες δικαιοσύνης καὶ ἐρασταὶ παιδείας ἀκούετε πανταχοῦ, εἰ δὲ καὶ ὑπάρχετε, δειχθήσεται. οὐ γὰρ κολακεύσοντες ὑμᾶς διὰ τῶνδε τῶν γραμμάτων· οὐδὲ πρὸς χάριν ὁμιλήσοντες, ἀλλ᾽ ἀπαιτήσοντες κατὰ τὸν ἀκριβῆ καὶ ἐξεταστικὸν λόγον τὴν κρίσιν ποιήσασθαι, προσεληλύθειμεν, μὴ προλήψει, μηδ᾽ ἀνθρωπαρεσκείᾳ τῇ δεισιδαιμόνων κατεχομένους, ἢ ἀλόγῳ ὁρμῇ, καὶ χρονίᾳ προκατεσχηκυίᾳ φήμῃ κακῇ, τὴν καθ᾽ ἑαυτῶν ψῆφον φέροντας· ἡμεῖς μὲν γὰρ πρὸς οὐδενὸς πείσεσθαί τι κακὸν δύνασθαι λελογίσμεθα, ἢν μὴ κακίας ἐργάται ἐλεγχώμεθα, ἢ πονηροὶ διεγνώσμεθα· ὑμεῖς δ᾽, ἀποκτεῖναι μὲν δύνασθε, βλάψαι δ᾽ οὔ.

(§. 3.) Ἀλλ᾽ ἵνα μὴ ἄλογον φωνὴν καὶ τολμηρὰν δόξῃ τὶς ταῦτα εἶναι, ἀξιοῦμεν τὰ κατηγορούμενα αὐτῶν

τῶν ἐξετάζεσθαι, καὶ ἐὰν οὕτως ἔχοντα ἀποδεικνύωνται, κολάζεσθαι, ὡς πρέπον ἐστὶ, μᾶλλον δὲ κολάζειν. εἰ δὲ μηδὲν ἔχοι τις ἐλέγχειν, οὐχ ὑπαγορεύει ὁ ἀληθὴς λόγος, διὰ Φήμην πονηρὰν ἀναιτίους ἀνθρώπους ἀδικεῖν, μᾶλλον δὲ ἑαυτοὺς, οἳ οὐ κρίσει, ἀλλὰ πάθει τὰ πράγματα ἐπάγειν ἀξιοῦτε. καλὴν δὲ καὶ μόνην δικαίαν πρόκλησιν ταύτην πᾶς ὁ σωΦρονῶν ἀποΦανεῖται, τὸ τοὺς ἀρχομένους τὴν εὐθύνην τοῦ ἑαυτῶν βίου καὶ λόγου ἄληπτον παρέχειν· ὁμοίως δ' αὖ καὶ τοὺς ἄρχοντας μὴ βίᾳ μηδὲ τυραννίδι, ἀλλ' εὐσεβείᾳ καὶ ΦιλοσοΦίᾳ ἀκολουθοῦντας, τὴν ψῆΦον τίθεσθαι. οὕτως γὰρ ἂν καὶ οἱ ἄρχοντές καὶ οἱ ἀρχόμενοι ἀπολαύοιεν τοῦ ἀγαθοῦ. ἔΦη γάρ που καὶ τις τῶν παλαιῶν· ἂν μὴ οἱ ἄρχοντες ΦιλοσοΦήσωσι, καὶ οἱ ἀρχόμενοι, οὐκ ἂν εἴη τὰς πόλεις εὐδαιμονῆσαι. ἡμέτερον οὖν ἔργον, καὶ βίου, καὶ μαθημάτων τὴν ἐπίσκεψιν πᾶσι παρέχειν, ὅπως ὑπὲρ τῶν ἀγνοεῖν τὰ ἡμέτερα νομιζόντων, τὴν τιμωρίαν ὧν ἂν πλημμελῶσι τυΦλώττοντες αὐτῶν, αὐτοῖς ὀΦλήσωμεν· ὑμέτερον δὲ, ὡς αἱρεῖ λόγος, ἀκούοντας, ἀγαθοὺς εὑρίσκεσθαι κριτάς. ἀναπολόγητον γὰρ λοιπὸν μαθοῦσιν, ἢν μὴ τὰ δίκαια ποιήσητε, ὑπάρξει πρὸς Θεόν.

(§. 4.) Ονόματος μὲν οὖν προσωνυμία, οὔτε ἀγαθὸν, οὔτε κακὸν κρίνεται ἄνευ τῶν ὑποπιπτουσῶν τῷ ὀνόματι πράξεων. ἐπεὶ, ὅσόν τε ἐκ τοῦ κατηγορουμένου ἡμῶν ὀνόματος, χρηστότατοι ὑπάρχομεν. ἀλλ' ἐπεὶ οὐ τοῦτο δίκαιον ἡγούμεθα, διὰ τὸ ὄνομα, ἐὰν κακοὶ ἐλεγχώμεθα, αἰτεῖν ἀΦίεσθαι· πάλιν, εἰ μηδὲν διά τε τὸν προσηγορίαν τοῦ ὀνόματος, καὶ διὰ τὴν πολιτείαν εὑρισκόμεθα ἀδικοῦντες, ὑμέτερον ἀγωνιᾶσαί ἐστι, μὴ

λα-

ἀδίκως κολάζοντες τοὺς μὴ ἐλεγχομένους, τῇ δίκῃ κόλασιν ὀφλήσητε. ἐξ ὀνόματος μὲν γὰρ ἢ ἔπαινος, ἢ κόλασις οὐκ ἂν εὐλόγως γένοιτο, ἢν μή τι ἐνάρετον ἢ φαῦλον δι' ἔργων ἀποδείκνυσθαι δύνηται. καὶ γὰρ τοὺς κατηγορουμένους ἐφ' ὑμῶν πάντας πρὶν ἐλεγχθῆναι οὐ τιμωρεῖτε· ἐφ' ἡμῶν δὲ τὸ ὄνομα ὡς ἔλεγχον λαμβάνετε, καίπερ, ὅσον γε οὐκ τοῦ ὀνόματος, τοὺς κατηγοροῦντας μᾶλλον κολάζειν ὀφείλετε. Χριστιανοὶ γὰρ εἶναι κατηγορούμεθα· τὸ δὲ χρηστὸν μισεῖσθαι οὐ δίκαιον. καὶ πάλιν, ἐὰν μέν τις τῶν κατηγορουμένων ἔξαρνος γένηται, τῇ φωνῇ μὴ εἶναι φήσας, ἀφίετε αὐτὸν, ὡς μηδὲν ἐλέγχειν ἔχοντες ἁμαρτάνοντα. ἐὰν δέ τις ὁμολογήσῃ εἶναι, διὰ τὴν ὁμολογίαν κολάζετε· δέον καὶ τὸν τοῦ ὁμολογοῦντος βίον εὐθύνειν, καὶ τὸν τοῦ ἀρνουμένου, ὅπως διὰ τῶν πράξεων ὁποῖός ἐστιν ἕκαστος, φαίνηται. Ὃν γὰρ τρόπον παραλαβόντες τινὲς παρὰ τοῦ διδασκάλου Χριστοῦ μὴ ἀρνεῖσθαι, ἐξεταζόμενοι παρακελεύονται, τὸν αὐτὸν τρόπον κακῶς ζῶντες, ἴσως ἀφορμὰς παρέχουσι τοῖς ἄλλως καταλέγειν τῶν πάντων Χριστιανῶν ἀσέβειαν καὶ ἀδικίαν αἱρουμένοις. οὐκ ὀρθῶς μὲν οὐδὲ τοῦτο πράττεται. καὶ γάρ τοι φιλοσοφίας ὄνομα καὶ σχῆμα ἐπιγράφονταί τινες, οἳ οὐδὲν ἄξιον τῆς ὑποσχέσεως πράττουσι. γινώσκετε δ' ὅτι καὶ οἱ τὰ ἐναντία δοξάσαντες καὶ δογματίσαντες τῶν παλαιῶν, τῷ ἑνὶ ὀνόματι προσαγορεύονται φιλόσοφοι. καὶ τούτων τινὲς ἀθεότητα ἐδίδαξαν, καὶ τὸν Δία ἀσελγῆ ἅμα τοῖς αὐτοῦ παισὶν οἱ γενόμενοι ποιηταὶ καταγγέλλουσι· κἀκείνων τὰ διδάγματα οἱ μετερχόμενοι οὐκ εἴργονται πρὸς ὑμῶν· ἆθλα δὲ καὶ τιμὰς τοῖς εὐφώνως ὑβρίζουσι τούτους τίθετε.

(§. 5.)

(§. 5.) Τί δὴ οὖν τοῦτ' ἂν εἴη; ἐφ' ἡμῶν ὑπισχνουμένων μηδὲν ἀδικεῖν, μηδὲ τὰ ἄθεα ταῦτα δοξάζειν, οὐ κρίσεις ἐξετάζετε, ἀλλὰ ἀλόγῳ πάθει, καὶ μάστιγι δαιμόνων φαύλων ἐξελαυνόμενοι, ἀκρίτως κολάζετε μὴ φροντίζοντες. εἰρήσεται γὰρ τἀληθὲς, ἐπεὶ τὸ παλαιὸν δαίμονες φαῦλοι, ἐπιφανείας ποιησάμενοι, καὶ γυναῖκας ἐμοίχευσαν, καὶ παῖδας διέφθειραν, καὶ φόβητρα ἀνθρώποις ἔδειξαν, ὡς καταπλαγῆναι τοὺς οἳ λόγῳ τὰς γινομένας πράξεις οὐκ ἔκρινον, ἀλλὰ δέει συνηρπασμένοι, καὶ μὴ ἐπιστάμενοι δαίμονας εἶναι φαύλους, θεοὺς προσωνόμαζον, καὶ ὀνόματι ἕκαστον προσηγόρευον, ὅπερ ἕκαστος αὑτῷ τῶν δαιμόνων ἐτίθετο. ὅτε δὲ Σωκράτης λόγῳ ἀληθεῖ καὶ ἐξεταστικῶς ταῦτα εἰς φανερὸν ἐπειρᾶτο φέρειν, καὶ ἀπάγειν τῶν δαιμόνων τοὺς ἀνθρώπους, καὶ αὐτοὶ οἱ δαίμονες διὰ τῶν χαιρόντων τῇ κακίᾳ ἀνθρώπων ἐνήργησαν, ὡς ἄθεον καὶ ἀσεβῆ ἀποκτεῖναι, λέγοντες καινὰ εἰσφέρειν αὐτὸν δαιμόνια: καὶ ὁμοίως ἐφ' ἡμῶν τὸ αὐτὸ ἐνεργοῦσιν. οὐ γὰρ μόνον Ἕλλησι διὰ Σωκράτους ὑπὸ λόγου ἠλέγχθη ταῦτα, ἀλλὰ καὶ ἐν βαρβάροις ὑπ' αὐτοῦ τοῦ λόγου μορφωθέντος καὶ ἀνθρώπου γενομένου, καὶ Ἰησοῦ Χριστοῦ κληθέντος. ᾧ πεισθέντες ἡμεῖς, τοὺς ταῦτα πράξαντας δαίμονας οὐ μόνον μὴ ὀρθοὺς εἶναι φαμὲν, ἀλλὰ κακοὺς καὶ ἀνοσίους δαίμονας, οἳ οὐδὲ τοῖς ἀρετὴν ποθοῦσιν ἀνθρώποις τὰς πράξεις ὁμοίας ἔχουσιν.

---

3. *Christiani, injuste accusati.*

(§. 6.) Ἐνθένδε καὶ ἄθεοι κεκλήμεθα. Καὶ ὁμολογουμεν τῶν τοιούτων νομιζομένων θεῶν ἄθεοι εἶναι, ἀλλ' οὐχὶ τοῦ ἀληθεστάτου, καὶ πατρὸς δικαιοσύνης καὶ σωφροσύ-

σύνης, καὶ τῶν ἄλλων ἀρετῶν, ἀνεπιμίκτου τὲ κακίας Θεοῦ· ἀλλ᾽ ἐκεῖνόν τὲ, καὶ τὸν παρ᾽ αὐτοῦ υἱὸν ἐλθόντα, καὶ διδάξαντα ἡμᾶς ταῦτα, καὶ τὸν τῶν ἄλλων ἑπομένων καὶ ἐξομοιουμένων ἀγαθῶν ἀγγέλων στρατὸν, πνεῦμά τε τὸ προφητικὸν σεβόμεθα, καὶ προσκυνοῦμεν, λόγῳ καὶ ἀληθείᾳ τιμῶντες, καὶ παντὶ βουλομένῳ μαθεῖν, ὡς ἐδιδάχθημεν, ἀφθόνως παραδιδόντες.

(§. 9.) Αλλ᾽ οὐδὲ θυσίαις πολλαῖς καὶ πλοκεῖς ἀνθῶν τιμωμέν οὓς ἄνθρωποι μορφώσαντες, καὶ ἐν ναοῖς ἱδρύσαντες, Θεοὺς προσωνόμασαν· ἐπεὶ ἄψυχα καὶ νεκρὰ ταῦτα γινώσκομεν, καὶ Θεοῦ μορφὴν μὴ ἔχοντα. (οὐ γὰρ τοιαύτην ἡγούμεθα τὸν Θεὸν ἔχειν τὴν μορφὴν, ἥν φασί τινες εἰς τιμὴν μεμιμῆσθαι.) ἀλλ᾽ ἐκείνων τῶν φανέντων κακῶν δαιμόνων καὶ ὀνόματα, καὶ σχήματα ἔχειν. τί γὰρ δεῖ εἰδόσιν ὑμῖν λέγειν, ἃ τὴν ὕλην οἱ τεχνῖται διατιθέασι, ξέοντες, καὶ τέμνοντες, καὶ χωνεύοντες, καὶ τύπτοντες; καὶ ἐξ ἀτίμων πολλάκις σκευῶν διὰ τέχνης τὸ σχῆμα μόνον ἀλλάξαντες καὶ μορφοποιήσαντες, Θεοὺς ἐπονομάζουσιν· ὅπερ οὐ μόνον ἄλογον ἡμούμεθα, ἀλλὰ καὶ ἐφ᾽ ὕβρει τοῦ Θεοῦ γίνεσθαι, ὃς ἄῤῥητον δόξαν καὶ μορφὴν ἔχων, ἐπὶ φθαρτοῖς καὶ δεομένοις θεραπείας πράγμασιν ἐπονομάζεται. καὶ ὅτι οἵ τούτων τεχνῖται ἀσελγεῖς τε, καὶ πᾶσαν κακίαν, ἵνα μὴ καταριθμῶμεν, ἔχουσιν, ἀκριβῶς ἐπίστασθε· καὶ τὰς ἑαυτῶν παιδίσκας συνεργαζομένας φθείρουσιν. ὢ τῆς ἐμβροντησίας, ἀνθρώπους ἀκολάστους, θεοὺς εἰς τὸ προσκυνεῖσθαι πλάσσειν λέγεσθαι, καὶ μεταποιεῖν· καὶ τῶν ἱερῶν, ἔνθα ἀνατίθενται, φύλακας τοιούτους καθιστάναι· μὴ συνορῶντας ἀθέ-

ἀθέμιτον καὶ τὸ νοεῖν ἢ λέγειν, ἀνθρώπους θεῶν εἶναι φύλακας.

(§. 10.) Ἀλλ' οὐ δέεσθαι τῆς παρὰ ἀνθρώπων ὑλικῆς προσφορᾶς προσειλήφαμεν τὸν Θεὸν, αὐτὸν παρέχοντα πάντα ὁρῶντες· ἐκείνους δὲ προσδέχεσθαι αὐτὸν μόνον δεδιδάγμεθα, καὶ πεπείσμεθα, καὶ πιστεύομεν, τοὺς τὰ προσόντα αὐτῷ ἀγαθὰ μιμουμένους, σωφροσύνην κὶ δικαιοσύνην καὶ φιλανθρωπίαν, καὶ ὅσα οἰκεῖα Θεῷ ἐςὶ, τῷ μηδενὶ ὀνόματι θετῷ καλουμένῳ. καὶ πάντα τὴν ἀρχὴν ἀγαθὸν ὄντα δημιουργῆσαι αὐτὸν ἐξ ἀμόρφου ὕλης δι' ἀνθρώπους δεδιδάγμεθα· οἳ ἐὰν ἀξίους τῷ ἐκείνου βουλεύματι ἑαυτοὺς δι' ἔργων δείξωσι, τῆς μετ' αὐτοῦ ἀναστροφῆς καταξιωθῆναι προσειλήφαμεν συμβασιλεύοντας, ἀφθάρτους καὶ ἀπαθεῖς γενομένους. ὃν τρόπον γὰρ τὴν ἀρχὴν οὐκ ὄντας ἐποίησε, τὸν αὐτὸν ἡγούμεθα τρόπον, διὰ τὸ ἑλέσθαι τοὺς αἱρουμένους τὰ αὐτῷ ἀρεστὰ, καὶ ἀφθαρσίας καὶ συνουσίας καταξιωθῆναι. τὸ μὲν γὰρ τὴν ἀρχὴν γενέσθαι, οὐχ ἡμέτερον ἦν· τὸ δ' ἐξακολουθῆσαι οἷς φίλον αὐτῷ αἱρουμένους δι' ὧν αὐτὸς ἐδωρήσατο λογικῶν δυνάμεων, πείθει τὲ καὶ εἰς πίστιν ἄγει ἡμᾶς. καὶ ὑπὲρ πάντων ἀνθρώπων ἡγούμεθα εἶναι, τῷ μὴ εἴργεσθαι ταῦτα μανθάνειν, ἀλλὰ καὶ προτρέπεσθαι ἐπὶ ταῦτα. ὅπερ γὰρ οὐκ ἠδυνήθησαν οἱ ἀνθρώπειοι νόμοι πρᾶξαι, ταῦτα ὁ λόγος θεῖος ὢν εἰργάσατο, εἰ μὴ οἱ φαῦλοι δαίμονες κατεσκέδασαν πολλὰ ψευδῆ καὶ ἄθεα κατηγορήματα, σύμμαχον λαβόντες τὴν ἐν ἑκάςῳ κακὴν πρὸς πάντα καὶ ποικίλην φύσει ἐπιθυμίαν, ὧν οὐδὲν πρόσεςιν ἡμῖν.

(§. 11.) Καὶ ὑμεῖς ἀκούσαντες βασιλείαν προσδοκῶντας ἡμᾶς, ἀκρίτως ἀνθρώπινον λέγειν ἡμᾶς ὑπειλήφατε,

τε, ἡμῶν τὴν μετὰ Θεοῦ λεγόντων, ὡς καὶ ἐκ τοῦ ἀνεταζομένους ὑφ' ὑμῶν ὁμολογεῖν εἶναι Χριστιανοὺς, γινώσκοντες τῷ ὁμολογοῦντι θάνατον τὴν ζημίαν κεῖσθαι, φαίνεται· εἰ γὰρ ἀνθρώπινον βασιλείαν προσεδοκῶμεν, κᾂν ἠρνούμεθα, ὅπως μὴ ἀναιρώμεθα, καὶ λανθάνειν ἐπειρώμεθα. ὅπως τῶν προσδοκωμένων τύχωμεν. ἀλλὰ ἐπεὶ οὐκ εἰς τὸ νῦν τὰς ἐλπίδας ἔχομεν, ἀναιρούντων οὐ πεφροντίκαμεν, τοῦ καὶ πάντως ἀποθανεῖν ὀφειλομένου.

(§. 12.) Αρωγοὶ δ' ὑμῖν καὶ σύμμαχοι πρὸς εἰρήνην ἐσμὲν πάντων μᾶλλον ἀνθρώπων, οἳ ταῦτα δοξάζομεν, ὡς λαθεῖν Θεὸν, κακόεργον, ἢ πλεονέκτην, ἢ ἐπίβουλον, ἢ ἐνάρετον, ἀδύνατον εἶναι, καὶ ἕκαστον ἐπ' αἰωνίαν κόλασιν ἢ σωτηρίαν κατ' ἀξίαν τῶν πράξεων πορεύεσθαι. εἰ γὰρ οἱ πάντες ἄνθρωποι ταῦτα ἐγίνωσκον, οὐκ ἄν τις τὴν κακίαν πρὸς ὀλίγον ᾑρεῖτο, γινώσκων πορεύεσθαι ἐπ' αἰωνίαν διὰ πυρὸς καταδίκην, ἀλλ' ἐκ παντὸς τρόπου ἑαυτὸν συνεῖχε, καὶ ἐκόσμει ἀρετῇ, ὅπως τῶν παρὰ τοῦ Θεοῦ τύχῃ ἀγαθῶν, καὶ τῶν κολαστηρίων ἀπηλλαγμένος εἴη. οὐ γὰρ διὰ τοὺς ὑφ' ὑμῶν κειμένους νόμους καὶ κολάσεις πειρῶνται λανθάνειν ἀδικοῦντες· ἀνθρώπους δ' ὄντας λανθάνειν ὑμᾶς δυνατὸν ἐπιστάμενοι, ἀδικοῦσιν. εἰ ἔμαθον καὶ ἐπείσθησαν Θεὸν ἀδύνατον εἶναι λαθεῖν τι, οὐ μόνον πραττόμενον, ἀλλὰ καὶ βουλευόμενον, κᾂν διὰ τὰ ἐπικείμενα ἐκ παντὸς τρόπου κόσμιοι ἦσαν, ὡς καὶ ἡμεῖς συμφήσετε. . . . .

(§. 13.) Αθεοι μὲν οὖν ὡς οὐκ ἐσμὲν, τὸν δημιουργὸν τοῦδε τοῦ παντὸς σεβόμενοι, ἀνενδεῆ αἱμάτων καὶ σπονδῶν καὶ θυμιαμάτων, ὡς ἐδιδάχθημεν, λέγοντες, λόγῳ

εὐ-

εὐχῆς καὶ εὐχαριστίας ἐφ' οἷς προσφερόμεθα πᾶσιν, ὅση δύναμις, αἰνοῦντες (μόνην ἀξίαν αὐτοῦ τιμὴν ταύτην παραλαβόντες, τὸ τὰ ὑπ' ἐκείνου εἰς διατροφὴν γενόμενα, οὐ πυρὶ δαπανᾷν, ἀλλ' ἑαυτοῖς καὶ τοῖς δεομένοις προσφέρειν, ἐκείνῳ δὲ εὐχαρίστους ὄντας, διὰ λόγου πομπὰς καὶ ὕμνους πέμπειν) ὑπέρ τε τοῦ γεγονέναι, καὶ τῶν εἰς εὐρωστίαν πόρων πάντων, ποιοτήτων μὲν γενῶν, καὶ μεταβολῶν ὡρῶν, καὶ τοῦ πάλιν ἐν ἀφθαρσίᾳ γενέσθαι διὰ πίστιν τὴν ἐν αὐτῷ αἰτήσεις πέμποντες, τίς σωφρονῶν οὐχ ὁμολογήσει; τὸν διδάσκαλόν τε τούτων γενόμενον ἡμῖν, καὶ εἰς τοῦτο γεννηθέντα Ἰησοῦν Χριστὸν, τὸν σταυρωθέντα ἐπὶ Ποντίου Πιλάτου, τοῦ γενομένου ἐν Ἰουδαίᾳ ἐπὶ χρόνοις Τιβερίου Καίσαρος ἐπιτρόπου, υἱὸν αὐτοῦ τοῦ ὄντως Θεοῦ μαθόντες, καὶ ἐν δευτέρᾳ χώρᾳ ἔχοντες, πνεῦμά τε προφητικὸν ἐν τρίτῃ τάξει, ὅτι μετὰ λόγου τιμῶμεν, ἀποδείξομεν. ἐνταῦθα γὰρ μανίαν ἡμῶν καταφαίνονται· δευτέραν χώραν μετὰ τὸν ἄτρεπτον, καὶ ἀεὶ ὄντα Θεὸν, καὶ γεννήτορα τὸν ἁπάντων, ἀνθρώπῳ σταυρωθέντι διδόναι ἡμᾶς λέγοντες· ἀγνοοῦντες τὸ ἐν τούτῳ μυστήριον, ᾧ προσέχειν ὑμᾶς ἐξηγουμένων ἡμῶν προτρεπόμεθα.

4. *De ritibus Christianis, et cultu sacro.*

(§. 61.) Ὃν τρόπον δὲ καὶ ἀνεθήκαμεν ἑαυτοὺς τῷ Θεῷ, καινοποιηθέντες διὰ τοῦ Χριστοῦ, ἐξηγησόμεθα· ὅπως μὴ τοῦτο παραλιπόντες, δόξωμεν πονηρεύειν τὶ ἐν τῇ ἐξηγήσει. ὅσοι ἂν πεισθῶσι καὶ πιστεύωσιν ἀληθῆ

ταῦ-

ταῦτα τὰ ἐφ' ἡμῶν διδασκόμενα καὶ λεγόμενα εἶναι, καὶ βιοῦν οὕτως δύνασθαι ὑπισχνῶνται, εὔχεσθαί τε καὶ αἰτεῖν νηστεύοντες παρὰ τοῦ Θεοῦ τῶν προημαρτημένων ἄφεσιν διδάσκονται, ἡμῶν συνευχομένων καὶ συννηστευόντων αὐτοῖς. ἔπειτα ἄγονται ὑφ' ἡμῶν ἔνθα ὕδωρ ἐστὶ, καὶ τρόπον ἀναγεννήσεως, ὃν καὶ ἡμεῖς αὐτοὶ ἀνεγεννήθημεν, ἀναγεννῶνται. ἐπ' ὀνόματος γὰρ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ, καὶ τοῦ σωτῆρος ἡμῶν Ιησοῦ Χριστοῦ, καὶ πνεύματος ἁγίου, τὸ ἐν τῷ ὕδατι τότε λουτρὸν ποιοῦνται. καὶ γὰρ ὁ Χριςὸς εἶπεν, ἂν μὴ ἀναγεννηθῆτε, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. ὅτι δὲ καὶ ἀδύνατον εἰς τὰς μήτρας τῶν τεκουσῶν τοὺς ἅπαξ γεννωμένους ἐμβῆναι, φανερὸν πᾶσίν ἐςι. καὶ διὰ Ησαΐου τοῦ προφήτου, ὡς προεγράψαμεν, εἴρηται τίνα τρόπον φεύξονται τὰς ἁμαρτίας οἱ ἁμαρτήσαντες καὶ μετανοοῦντες. ἐλέχθη δὲ οὕτως· λούσασθε, καθαροὶ γένεσθε· ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν· κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡσεὶ ἔριον λευκανῶ· καὶ ἐὰν ὦσιν ὡς κόκκινον, ὡς χιόνα λευκανῶ. ἐὰν δὲ μὴ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Καὶ λόγον δὲ εἰς τοῦτο παρὰ τῶν ἀποστόλων ἐμάθομεν τοῦτον. ἐπειδὴ τὴν πρώτην γένεσιν ἡμῶν ἀγνοοῦντες, κατ' ἀνάγκην γεγεννήμεθα ἐξ ὑγρᾶς σπορᾶς κατὰ μίξιν τὴν τῶν γονέων πρὸς ἀλλήλους, καὶ ἐν ἔθεσι φαύλοις καὶ πονηραῖς ἀνατροφαῖς γεγόναμεν, ὅπως μὴ ἀνάγκης τέκνα μηδὲ ἀγνοίας μένωμεν, ἀλλὰ προαι-

μέσεως καὶ ἐπιστήμης, ἀφέσεώς τε ἁμαρτιῶν ὑπὲρ ὧν προημάρτομεν τύχωμεν ἐν τῷ ὕδατι, ἐπονομάζεται τῷ ἑλομένῳ ἀναγεννηθῆναι, καὶ μετανοήσαντι ἐπὶ τοῖς ἡμαρτημένοις, τὸ τοῦ πατρὸς τῶν ὅλων καὶ δεσπότου Θεοῦ ὄνομα' αὐτὸ τοῦτο μόνον ἐπιλέγοντες, τοῦτον λουσόμενον ἄγοντες ἐπὶ τὸ λουτρόν, ὄνομα γὰρ τῷ ἀῤῥήτῳ Θεῷ οὐδεὶς ἔχει εἰπεῖν· εἰ δέ τις τολμήσειεν εἶναι λέγειν, μέμηνε τὴν ἄσωτον μανίαν. καλεῖται δὲ τοῦτο τὸ λουτρὸν Φωτισμὸς, ὡς Φωτιζομένων τὴν διάνοιαν τῶν ταῦτα μανθανόντων. καὶ ἐπ' ὀνόματος δὲ Ιησοῦ Χριστοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου, καὶ ἐπ' ὀνόματος πνεύματος ἁγίου, ὃ διὰ τῶν προφητῶν προεκήρυξε τὰ κατὰ τὸν Ιησοῦν πάντα, ὁ Φωτιζόμενος λούεται.

(§. 62.) Καὶ τὸ λουτρὸν δὴ τοῦτο ἀκούσαντες οἱ δαίμονες διὰ τοῦ προφήτου κεκηρυγμένον, ἐνήργησαν καὶ ῥαντίζειν ἑαυτοὺς τοὺς εἰς τὰ ἱερὰ αὐτῶν ἐπιβαίνοντας, καὶ προσιέναι αὐτοῖς μέλλοντας, λοιβὰς καὶ κνίσας ἀποτελοῦντας. τέλεον δὲ καὶ λούεσθαι ἀπιόντας, πρὶν ἐλθεῖν ἐπὶ τὰ ἱερὰ ἔνθα ἵδρυνται, ἐνεργοῦσι. καὶ γὰρ τὸ ὑπολύεσθαι ἐπιβαίνοντας τοῖς ἱεροῖς, καὶ τοῖς αὐτοῖς τοὺς θρησκεύοντας, κελεύεσθαι ὑπὸ τῶν ἱερατευόντων, ἐκ τῶν συμβάντων Μωσεῖ τῷ εἰρημένῳ προφήτῃ μαθόντες οἱ δαίμονες ἐμιμήσαντο. κατ' ἐκεῖνο γὰρ τοῦ καιροῦ ὅτε Μωσῆς ἐκελεύσθη κατελθὼν εἰς Αἴγυπτον ἐξαγαγεῖν τὸν ἐκεῖ λαὸν τῶν Ισραηλιτῶν, ποιμαίνοντος αὐτοῦ ἐν τῇ Ἀῤῥαβικῇ γῇ πρόβατα τοῦ πρὸς μητρὸς θείου, ἐν ἰδέᾳ πυρὸς ἐκ βάτου προσωμίλησεν αὐτῷ ὁ ἡμέτερος Χριστὸς, καὶ εἶπεν, ὑπόλυσαι τὰ ὑποδήματά σου, καὶ προσελθὼν ἄκουσον. ὁ δὲ ὑπολυσάμενος καὶ

προ-

προσελθὼν, ἀκήκοε κατελθεῖν εἰς Αἴγυπτον, καὶ ἐξαγαγεῖν τὸν ἐκεῖ λαὸν τῶν Ισραηλιτῶν, καὶ δύναμιν ἰσχυρὰν ἔλαβε παρὰ τοῦ λαλήσαντος αὐτῷ ἐν ἰδέᾳ πυρὸς Χριστοῦ· καὶ κατελθὼν ἐξήγαγε τὸν λαὸν, ποιήσας μεγάλα καὶ θαυμάσια. ἃ εἰ βούλεσθε μαθεῖν, ἐκ τῶν συγγραμμάτων ἐκείνου ἀκριβῶς μαθήσεσθε.

(§. 65.) Ἡμεῖς δὲ μετὰ τὸ οὕτως λοῦσαι τὸν πεπεισμένον καὶ συγκατατεθειμένον, ἐπὶ τοὺς λεγομένους ἀδελφοὺς ἄγομεν, ἔνθα συνηγμένοι εἰσὶ, κοινὰς εὐχὰς ποιησόμενοι ὑπέρ τε ἑαυτῶν καὶ τοῦ φωτισθέντος, καὶ ἄλλων πανταχοῦ πάντων εὐτόνως, ὅπως καταξιωθῶμεν τὰ ἀληθῆ μαθόντες, καὶ δι' ἔργων ἀγαθοὶ πολιτευταὶ, καὶ φύλακες τῶν ἐντεταλμένων εὑρεθῆναι, ὅπως τὴν αἰώνιον σωτηρίαν σωθῶμεν. ἀλλήλους φιλήματι ἀσπαζόμεθα παυσάμενοι τῶν εὐχῶν. ἔπειτα προσφέρεται τῷ προεστῶτι τῶν ἀδελφῶν ἄρτος, καὶ ποτήριον ὕδατος καὶ κράματος. καὶ οὗτος λαβὼν, αἶνον καὶ δόξαν τῷ πατρὶ τῶν ὅλων διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ, καὶ τοῦ πνεύματος τοῦ ἁγίου, ἀναπέμπει· καὶ εὐχαριστίαν ὑπὲρ τοῦ κατηξιῶσθαι τούτων παρ' αὐτοῦ ἐπὶ πολὺ ποιεῖται· οὗ συντελέσαντος τὰς εὐχὰς καὶ τὴν εὐχαριστίαν, πᾶς ὁ παρὼν λαὸς ἐπευφημεῖ λέγων, Αμήν. τὸ δὲ ἀμὴν τῇ Εβραΐδι φωνῇ, τὸ γένοιτο σημαίνει. εὐχαριστήσαντος δὲ τοῦ προεστῶτος, καὶ ἐπευφημήσαντος παντὸς τοῦ λαοῦ, οἱ καλούμενοι παρ' ἡμῖν διάκονοι, διδόασιν ἑκάστῳ τῶν παρόντων μεταλαβεῖν ἀπὸ τοῦ εὐχαριστηθέντος ἄρτου καὶ οἴνου καὶ ὕδατος, καὶ τοῖς οὐ παροῦσιν ἀποφέρουσι.

(§. 66.) Καὶ ἡ τροφὴ αὕτη καλεῖται παρ' ἡμῖν εὐχαριστία· ἧς οὐδενὶ ἄλλῳ μετασχεῖν ἐξόν ἐστιν, ἢ τῷ πιστεύοντι ἀλη-

ἀληθῆ εἶναι τὰ δεδιδαγμένα ὑφ' ἡμῶν, καὶ λουσαμένῳ τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν καὶ εἰς ἀναγέννησιν λουτρὸν, καὶ οὕτως βιοῦντι ὡς ὁ Χριστὸς παρέδωκεν. οὐ γὰρ ὡς κοινὸν ἄρτον, οὐδὲ κοινὸν πόμα, ταῦτα λαμβάνομεν· ἀλλ' ὃν τρόπον διὰ λόγου Θεοῦ σαρκοποιηθεὶς Ιησοῦς Χριστὸς ὁ σωτὴρ ἡμῶν, καὶ σάρκα καὶ αἷμα ὑπὲρ σωτηρίας ἡμῶν ἔσχεν, οὕτως καὶ τὴν δι' εὐχῆς λόγου τοῦ παρ' αὐτοῦ εὐχαριστηθεῖσαν τροφὴν, ἐξ ἧς αἷμα καὶ σάρκες κατὰ μεταβολὴν τρέφονται ἡμῶν, ἐκείνου τοῦ σαρκοποιηθέντος Ιησοῦ καὶ σάρκα καὶ αἷμα ἐδιδάχθημεν εἶναι. οἱ γὰρ ἀπόστολοι ἐν τοῖς γενομένοις ὑπ' αὐτῶν ἀπομνημονεύμασιν, ἃ καλεῖται εὐαγγέλια, οὕτως παρέδωκαν ἐντετάλθαι αὐτοῖς τὸν Ιησοῦν· λαβόντα ἄρτον, εὐχαριστήσαντα εἰπεῖν, τοῦτο ποιεῖτε εἰς τὴν ἀνάμνησίν μου· τουτέστι τὸ σῶμά μου· καὶ τὸ ποτήριον ὁμοίως λαβόντα καὶ εὐχαριστήσαντα εἰπεῖν, τοῦτό ἐςι αἷμά μου· καὶ μόνοις αὐτοῖς μεταδοῦναι. ὅπερ καὶ ἐν τοῖς τοῦ Μίθρα μυστηρίοις παρέδωκαν γίνεσθαι μιμησάμενοι οἱ πονηροὶ δαίμονες. ὅτι γὰρ ἄρτος καὶ ποτήριον ὕδατος τίθεται ἐν ταῖς τοῦ μυουμένου τελεταῖς μετ' ἐπιλόγων τινῶν, ἢ ἐπίστασθε, ἢ μαθεῖν δύνασθε.

(§. 67.) Ημεῖς δὲ μετὰ ταῦτα λοιπὸν ἀεὶ τούτων ἀλλήλους ἀναμιμνήσκομεν καὶ οἱ ἔχοντες τοῖς λειπομένοις πᾶσιν ἐπικουροῦμεν, καὶ σύνεσμεν ἀλλήλοις ἀεί. Επὶ πᾶσί τε οἷς προσφερόμεθα, εὐλογοῦμεν τὸν ποιητὴν τῶν πάντων διὰ τοῦ υἱοῦ αὐτοῦ Ιησοῦ Χριστοῦ, καὶ διὰ πνεύματος τοῦ ἁγίου· καὶ τῇ τοῦ ἡλίου λεγομένῃ ἡμέρᾳ πάντων κατὰ πόλεις ἢ ἀγροὺς μενόντων ἐπὶ τὸ αὐτὸ συνέλευσις γίνεται, καὶ τὰ ἀπομνημονεύματα τῶν ἀποστόλων, ἢ τὰ συγγράμματα τῶν

προ-

προφητῶν ἀναγινώσκεται μέχρις ἐγχωρεῖ. εἶτα παυσαμένου τοῦ ἀναγινώσκοντος, ὁ προεστὼς διὰ λόγου τὴν νουθεσίαν καὶ πρόκλησιν τῆς τῶν καλῶν τούτων μιμήσεως ποιεῖται. ἔπειτα ἀνιστάμεθα κοινῇ πάντες, καὶ εὐχὰς πέμπομεν· καὶ, ὡς προέφημεν, παυσαμένων ἡμῶν τῆς εὐχῆς, ἄρτος προσφέρεται, καὶ οἶνος, καὶ ὕδωρ· καὶ ὁ προεστὼς εὐχὰς ὁμοίως καὶ εὐχαριστίας, ὅση δύναμις αὐτῷ, ἀναπέμπει, καὶ ὁ λαὸς ἐπευφημεῖ, λέγων τὸ Ἀμήν. καὶ ἡ διάδοσις καὶ ἡ μετάληψις ἀπὸ τῶν εὐχαριστηθέντων ἑκάστῳ γίνεται, καὶ τοῖς οὐ παροῦσι διὰ τῶν διακόνων πέμπεται. Οἱ εὐποροῦντες δὲ καὶ βουλόμενοι, κατὰ προαίρεσιν ἕκαστος τοῦ ἑαυτοῦ, ὃ βούλεται, δίδωσι· καὶ τὸ συλλεγόμενον παρὰ τῷ προεστῶτι ἀποτίθεται, καὶ αὐτὸς ἐπικουρεῖ ὀρφανοῖς τε καὶ χήραις, καὶ τοῖς διὰ νόσον ἢ δι' ἄλλην αἰτίαν λειπομένοις, καὶ τοῖς ἐν δεσμοῖς οὖσι, καὶ τοῖς παρεπιδήμοις οὖσι ξένοις, καὶ ἁπλῶς πᾶσι τοῖς ἐν χρείᾳ οὖσι κηδεμὼν γίνεται. Τὴν δὲ τοῦ ἡλίου ἡμέραν κοινῇ πάντες τὴν συνέλευσιν ποιούμεθα· ἐπειδὴ πρώτη ἐστὶν ἡμέρα, ἐν ᾗ ὁ Θεὸς τὸ σκότος καὶ τὴν ὕλην τρέψας, κόσμον ἐποίησε, καὶ Ἰησοῦς Χριστὸς ὁ ἡμέτερος σωτὴρ τῇ αὐτῇ ἡμέρᾳ ἐκ νεκρῶν ἀνέστη. τῇ γὰρ πρὸ τῆς κρονικῆς ἐσταύρωσαν αὐτόν. καὶ τῇ μετὰ τὴν κρονικὴν, ἥτις ἐστὶν ἡλίου ἡμέρα, φανεὶς τοῖς ἀποστόλοις αὐτοῦ καὶ μαθηταῖς, ἐδίδαξε ταῦτα, ἅπερ εἰς ἐπίσκεψιν καὶ ὑμῖν ἀνεδώκαμεν.

(§. 68.) Καὶ εἰ μὲν δοκεῖ ὑμῖν λόγου καὶ ἀληθείας ἔχεσθαι, τιμήσατε αὐτά· εἰ δὲ λῆρος ὑμῖν δοκεῖ, ὡς ληρωδῶν πραγμάτων καταφρονήσατε, καὶ μὴ ὡς κατ'

ἐχ-

ἐχθρῶν, κατὰ τῶν μηδὲν ἀδικούντων θάνατον ὁρίζετε. προλέγομεν γὰρ ὑμῖν, ὅτι οὐκ ἐκφεύξεσθε τὴν ἐσομένην τοῦ Θεοῦ κρίσιν, ἐὰν ἐπιμένητε τῇ ἀδικίᾳ, καὶ ἡμεῖς ἐπιβοήσομεν· ὃ φίλον τῷ Θεῷ, τοῦτο γενέσθω. καὶ ἐξ ἐπιστολῆς δὲ τοῦ μεγίστου καὶ ἐπιφανεστάτου Καίσαρος Ἀδριανοῦ τοῦ πατρὸς ὑμῶν, ἔχοντες ἀπαιτεῖν ὑμᾶς καθὰ ἠξιώσαμεν κελεῦσαι τὰς κρίσεις γενέσθαι, οὐκ ἐκ τοῦ κεκρῖσθαι τοῦτο ὑπὸ Ἀδριανοῦ μᾶλλον ἠξιώσαμεν, ἀλλ' ἐκ τοῦ ἐπίστασθαι δίκαια ἀξιοῦν, τὴν προσφώνησιν καὶ ἐξήγησιν πεποιήμεθα. ὑπετάξαμεν δὲ καὶ τῆς ἐπιστολῆς Ἀδριανοῦ τὸ ἀντίγραφον, ἵνα καὶ κατὰ τοῦτο ἀληθεύειν ἡμᾶς γνωρίζητε. καὶ ἔστι τὸ ἀντίγραφον τοῦτο:

Ἀδριανοῦ ὑπὲρ Χριστιανῶν ἐπιστολή.

(§. 69.) Μινουκίῳ Φουνδανῷ. ἐπιστολὴν ἐδεξάμην γραφεῖσάν μοι ἀπὸ Σερηνίου Γρανιανοῦ λαμπροτάτου ἀνδρὸς, ὅν τινα σὺ διεδέξω. οὐ δοκεῖ οὖν μοι τὸ πρᾶγμα ἀζήτητον καταλιπεῖν, ἵνα μήτε οἱ ἄνθρωποι ταράττωνται, καὶ τοῖς συκοφάνταις χορηγία κακουργίας παρασχεθῇ. ἂν οὖν σαφῶς εἰς ταύτην τὴν ἀξίωσιν οἱ ἐπαρχιῶται δύνωνται διϊσχυρίζεσθαι κατὰ τῶν Χριστιανῶν, ὡς καὶ πρὸ βήματος ἀποκρίνεσθαι, ἐπὶ τοῦτο μόνον τραπῶσιν, ἀλλ' οὐκ ἀξιώσεσιν, οὐδὲ μόναις βοαῖς. πολλῷ γὰρ μᾶλλον προσῆκεν, εἴ τις κατηγορεῖν βούλοιτο, τοῦτό σε διαγινώσκειν. εἴ τις οὖν κατηγορεῖ, καὶ δείκνυσί τι παρὰ τοὺς νόμους πράττοντας, οὕτως διόριζε κατὰ τὴν δύναμιν τοῦ ἁμαρτήματος· ὡς μὰ τὸν Ἡρακλέα, εἴ τις συκοφαντίας χάριν τοῦτο προτείνοι, διαλάμβανε

ὑπὲρ τῆς δεινότητος, καὶ φρόντιζε ὅπως ἂν ἐκδικήσειας;

Αντωνίνου ἐπιστολὴ πρὸς τὸ κοινὸν τῆς Ασίας.

(§. 70.) Αυτοκράτωρ Καῖσαρ Τίτος Αἴλιος Αδριανὸς Αντωνῖνος σεβαστὸς, εὐσεβὴς, ἀρχιερεὺς μέγιστος, δημαρχικῆς ἐξουσίας τὸ ιε', ὕπατος τὸ γ', πατὴρ πατρίδος τῷ κοινῷ τῆς Ασίας χαίρειν. ἐγὼ ᾤμην ὅτι καὶ τοὺς Θεοὺς ἐπιμελεῖς ἔσεσθαι μὴ λανθάνειν τοὺς τοιούτους, πολὺ γὰρ μᾶλλον ἐκείνους κολάσοιεν, εἴπερ δύναιντο, τοὺς μὴ βουλομένους αὐτοῖς προσκυνεῖν· οἷς ταραχὴν ὑμεῖς ἐμβάλλετε, καὶ τὴν γνώμην αὐτῶν ἥνπερ ἔχουσιν ὡς ἀθέων κατηγορεῖτε, καὶ ἕτερά τινα ἐμβάλλετε, ἅτινα οὐ δυνάμεθα ἀποδεῖξαι. εἴη δ' ἂν ἐκείνοις χρήσιμον, τὸ δοκεῖν ἐπὶ τῷ κατηγορουμένῳ τεθνάναι· καὶ νικῶσιν ὑμᾶς προϊέμενοι τὰς ἑαυτῶν ψυχὰς, ἤπερ πειθόμενοι οἷς ἀξιοῦτε πράσσειν αὐτούς. περὶ δὲ τῶν σεισμῶν τῶν γεγονότων, καὶ τῶν γινομένων, οὐκ εἰκὸς ὑπομνῆσαι ὑμᾶς ἀθυμοῦντας, ὅτάν περ ὦσι, παραβάλλοντας τὰ ὑμέτερα πρὸς τὰ ἐκείνων, ὅτι εὐπαῤῥησιαστότεροι ὑμῶν γίνονται πρὸς τὸν Θεόν. καὶ ὑμεῖς μὲν ἀγνοεῖν δοκεῖτε παρ' ἐκεῖνον τὸν χρόνον τοὺς θεοὺς, καὶ τῶν ἱερῶν ἀμελεῖτε· θρησκείαν δὲ τὴν περὶ τὸν Θεὸν οὐκ ἐπίστασθε. ὅθεν καὶ τοὺς θρησκεύοντας ἐζηλώκατε, καὶ διώκετε ἕως θανάτου. ὑπὲρ τῶν τοιούτων καὶ ἄλλοι τινὲς τῶν περὶ τὰς ἐπαρχίας ἡγεμόνων, τῷ θειοτάτῳ μου πατρὶ ἔγραψαν· οἷς καὶ ἀντέγραψε μηδὲν ὀχλεῖν τοῖς τοιούτοις, εἰ μὴ φαίνοιντό τι ἐπὶ τὴν ἡγεμονίαν Ρωμαίων ἐγχειροῦντες. καὶ ἐμοὶ δὲ περὶ τῶν

τῶν τοιούτων πολλοὶ ἐσήμαναν· οἷς δὴ καὶ ἀντέγραψα, τῇ τοῦ πατρός μοῦ κατακολουθῶν γνώμῃ. εἰ δέ τις ἔχει πρός τινὰ τῶν τοιούτων πρᾶγμα καταφέρειν ὡς τοιούτου, ἐκεῖνος ὁ καταφερόμενος ἀπολελύσθω τοῦ ἐγκλήματος, κἂν φαίνηται τοιοῦτος ὤν· ἐκεῖνος δὲ ὁ καταφέρων ἔνοχος ἔςαι τῇ δίκῃ.

Μαρκοῦ βασιλέως ἐπιστολὴ πρὸς τὴν σύγκλητον, ἐν ᾗ μαρτυρεῖ, χριστιανοὺς αἰτίους γεγενῆσθαι τῆς νίκης αὐτῶν.

(§. 71.) Αυτοκράτωρ Καῖσαρ Μάρκος Αὐρήλιος Αντωνῖνος, Γερμανικὸς, Παρθικὸς, Σαρματικὸς, δήμῳ Ρωμαίων, καὶ τῇ ἱερᾷ συγκλήτῳ χαίρειν. Φανερὰ ὑμῖν ἐποίησα τὰ τοῦ ἐμοῦ σκοποῦ μεγέθη, ὁποῖα ἐν τῇ Γερμανίᾳ ἐκ περιστάσεως διὰ περιβολῆς ἐπακολουθήματα ἐποίησα ἐν τῇ μεθορίᾳ καμῶν καὶ σπαθῶν, ἐν Κοτίνῳ καταλαμβανομένου μου ὑπὸ δρακόντων ἑβδομήκοντα τεσσάρων, ἀπὸ μιλίων ἐννέα. γενομένων δὲ αὐτῶν ἐγγὺς ἡμῶν, ἐξπλωράτωρες ἐμήνυσαν ἡμῖν, καὶ Πομπηϊανὸς ὁ ἡμέτερος πελέμαρχος ἐδήλωσεν ἡμῖν ἅτινα εἴδομεν· (καταλαμβανόμενος δὲ ἤμην ἐν μεγέθει πλήθους ἀμίκτου, καὶ στρατευμάτων λεγεῶνος πρίμας, δεκάτης, γεμιναφροντησίᾳ μίγμα κατηριθμημένον) πλήθη παρεῖναι παμμίκτου ὄχλου χιλιάδων ἐννακοσίων ἑβδομηκονταεπτά. ἐξετάσας οὖν ἐμαυτὸν καὶ τὸ πλῆθος τὸ ἐμὸν πρὸς τὸ μέγεθος τῶν βαρβάρων καὶ πολεμίων, κατέδραμον εἰς τὸ θεοῖς εὔχεσθαι πατρῴοις. ἀμελούμενος δὲ ὑπ' αὐτῶν, καὶ τὴν στενοχωρίαν μου θεωρήσας τῆς δυνάμεως, παρεκάλεσα τοὺς παρ' ἡμῖν λεγομένους Χριςιανούς·

νούς· καὶ ἐπερωτήσας, εὗρον πλῆθος καὶ μέγεθος αὐτῶν, καὶ ἐμβριμησάμενος εἰς αὐτοὺς ὅπερ οὐκ ἔπρεπε, διὰ τὸ ὕστερον ἐπεγνωκέναι με τὴν δύναμιν αὐτῶν. ὅθεν ἀρξάμενοι, οὐ βελῶν παράρτησιν, οὔτε ὅπλων, οὔτε σαλπίγγων, (διὰ τὸ ἐχθρὸν εἶναι τὸ τοιοῦτο αὐτοῖς, διὰ τὸν Θεὸν ὃν φοροῦσι κατὰ συνείδησιν· εἰκὸς οὖν ἐστὶν, οὓς ὑπολαμβάνομεν ἀθέους εἶναι, Θεὸν ἔχουσιν αὐτόματον ἐν τῇ συνειδήσει τετειχισμένον·) ῥίψαντες γὰρ ἑαυτοὺς ἐπὶ τὴν γῆν, οὐχ ὑπὲρ ἐμοῦ μόνου ἐδεήθησαν, ἀλλὰ καὶ ὑπὲρ τοῦ παρόντος στρατεύματος, παρήγοροι γένεσθαι δίψης καὶ λιμοῦ τῆς παρούσης. πεμπταῖοι γὰρ ὕδωρ οὐκ εἰλήφειμεν διὰ τὸ μὴ παρεῖναι. ἦμεν γὰρ ἐν τῷ μεσομφάλῳ τῆς Γερμανίας, καὶ τοῖς ὅροις αὐτῶν. ἅμα δὲ τῷ τούτους ῥῖψαι ἐπὶ τὴν γῆν ἑαυτοὺς, καὶ εὔχεσθαι Θεῷ, ᾧ ἐγὼ ἠγνόουν, εὐθέως ὕδωρ ἠκολούθει οὐρανόθεν. ἐπὶ μὲν ἡμᾶς ψυχρότατον, ἐπὶ δὲ τοὺς Ῥωμαίων ἐπιβούλους χάλαζα πυρώδης. ἀλλὰ καὶ εὐθὺ Θεοῦ παρουσίαν ἐν εὐχῇ γινομένην παραυτίκα, ὡς ἀνυπερβλήτου καὶ ἀκαταλύτου. αὐτόθεν οὖν ἀρξάμενοι, συγχωρήσωμεν τοῖς τοιούτοις εἶναι Χριστιανοῖς, ἵνα μὴ καθ' ἡμῶν τι τοιοῦτον αἰτησάμενοι ὅπλον, ἐπιτύχωσι. τὸν δὲ τοιοῦτον συμβουλεύω, διὰ τὸ τοιοῦτον εἶναι Χριστιανὸν, μὴ ἐγκαλεῖσθαι. εἰ δὲ εὑρεθείη τις ἐγκαλῶν τῷ Χριστιανῷ, ὅτι Χριστιανός ἐστι, τὸν μὲν προσαγόμενον Χριστιανὸν πρόδηλον εἶναι βούλομαι γίνεσθαι ὁμολογήσαντα τοῦτο, ἄλλο ἕτερον μηδὲν ἐγκαλούμενον, ἢ ὅτι Χριστιανὸς ἐστι μόνον· τὸν προσάγοντα δὲ τοῦτον ζῶντα καίεσθαι· τὸν δὲ Χριστιανὸν ὁμολογήσαντα, καὶ συνασφαλισάμενον περὶ τοῦ τοιούτου, τὸν πεπιστευμένον τὴν ἐπαρχίαν

εἰς

εἰς μετάνοιαν καὶ ἀνελευθερίαν τὸν τοιοῦτον μὴ μετάγειν. ταῦτα δὲ καὶ τῆς συγκλήτου δόγματι κυρωθῆναι βούλομαι, καὶ κελεύω τοῦτό μου τὸ διάταγμα ἐν τῷ Φόρῳ τοῦ Τραϊανοῦ προτεθῆναι, πρὸς τὸ δύνασθαι ἀναγινώσκεσθαι. Φροντίσει ὁ πραίφεκτος Βηράσιος Πολλίων εἰς τὰς πέριξ ἐπαρχίας πεμφθῆναι· πάντα δὲ τὸν βουλόμενον χρῆσθαι καὶ ἔχειν, μὴ κωλύεσθαι λαμβάνειν ἐκ τῶν προτεθέντων παρ' ἡμῶν.

II.

Justini Martyris Apologia II.

ΤΟΥ ΑΓΙΟΥ ΙΟΥΣΤΙΝΟΥ ΦΙΛΟΣΟΦΟΥ καὶ ΜΑΡΤΥΡΟΣ

Ἀπολογία ὑπὲρ Χριστιανῶν δευτέρα, πρὸς τὴν Ρωμαίων Σύγκλητον.

(§. 1.) ΚΑΙ τὰ χθὲς δὲ καὶ πρώην ἐν τῇ πόλει ὑμῶν γενόμενα ἐπὶ Οὐρβίκου, ὦ Ρωμαῖοι, καὶ τὰ πανταχοῦ ὁμοίως ὑπὸ τῶν ἡγουμένων ἀλόγως πραττόμενα, ἐξηνάγκασέ με ὑπὲρ ὑμῶν, ὁμοιοπαθῶν ὄντων, καὶ ἀδελφῶν, κἂν ἀγνοῆτε, καὶ μὴ θέλητε διὰ τὴν δόξαν τῶν νό-

νομιζομένων ἀξιωμάτων, τὴν τῶνδε τῶν λόγων σύναξιν ποιήσασθαι. πανταχοῦ γὰρ, ὃς ἂν σωφρονίζηται ὑπὸ πατρὸς, ἢ γείτονος, ἢ τέκνου, ἢ φίλου, ἢ ἀδελφοῦ, ἢ ἀνδρὸς, ἢ γυναικὸς κατ' ἔλλειψιν, χωρὶς τῶν πεισθέντων τοὺς ἀδίκους καὶ ἀκολάστους ἐν αἰωνίῳ πυρὶ κολασθήσεσθαι, τοὺς δ' ἐναρέτους, καὶ ὁμοίως Χριστῷ βιώσαντας, ἐν ἀπαθείᾳ συγγενέσθαι τῷ Θεῷ (λέγομεν δὲ τῶν γενομένων Χριστιανῶν) διὰ τὸ δυσμετάθετον καὶ φιλήδονον, καὶ δυσκίνητον πρὸς τὸ καλὸν ὁρμῆσαι καὶ οἱ φαῦλοι δαίμονες ἐχθραίνοντες ἡμῖν, καὶ τοὺς τοιούτους δικαστὰς ἔχοντες ὑποχειρίους καὶ λατρεύοντας, ὡς οὖν ἄρχοντας δαιμονιῶντας φονεύειν ἡμᾶς παρασκευάζουσιν. ὅπως δὲ καὶ ἡ αἰτία τοῦ παντὸς γενομένου ἐπὶ Οὐρβίκου φανερὰ ὑμῖν γένηται, τὰ πεπραγμένα ἀπαγγελῶ.

(§. 2.) Γυνή τις συνεβίου ἀνδρὶ ἀκολασταίνοντι, ἀκολασταίνουσα καὶ αὐτὴ πρότερον. ἐπεὶ δὲ τὰ τοῦ Χριστοῦ διδάγματα ἔγνω αὕτη, ἐσωφρονίσθη, καὶ τὸν ἄνδρα ὁμοίως σωφρονεῖν πείθειν ἐπειρᾶτο, διδάγματα ἀναφέρουσα, τήν τε μέλλουσαν τοῖς οὐ σωφρόνως καὶ μετὰ λόγου ὀρθοῦ βιοῦσιν ἔσεσθαι ἐν αἰωνίῳ πυρὶ κόλασιν ἀπαγγέλλουσα. ὁ δὲ ταῖς αὐταῖς ἀσελγείαις ἐπιμένων, ἀλλοτρίαν διὰ τῶν πράξεων ἐποιεῖτο τὴν γαμετήν· ἀσεβὲς γὰρ ἡγουμένη τὸ λοιπὸν ἡ γυνὴ συγκατακλίνεσθαι ἀνδρὶ παρὰ τὸν τῆς φύσεως νόμον, καὶ παρὰ τὸ δίκαιον πόρους ἡδονῆς ἐκ παντὸς πειρωμένῳ ποιεῖσθαι, τῆς συζυγίας χωρισθῆναι ἐβουλήθη. καὶ ἐπεὶ ἐξεδυσωπεῖτο ὑπὸ τῶν αὐτῆς, ἔτι προσμένειν συμβουλευόντων, ὡς εἰς ἐλπίδας μεταβολῆς ἥξοντος ποτὲ τοῦ ἀνδρὸς, βιαζομένη ἑαυτὴν ἐπέμενεν. ἐπειδὴ

δὲ ὁ ταύτης ἀνὴρ, εἰς τὴν Ἀλεξάνδρειαν πορευθεὶς, χαλεπώτερα πράττειν ἀπηγγέλθη, ὅπως μὴ κοινωνὸς τῶν ἀδικημάτων καὶ ἀσεβημάτων γένηται, μένουσα ἐν τῇ συζυγίᾳ, καὶ ὁμοδίαιτος καὶ ὁμόκοιτος γινομένη, τὸ λεγόμενον παρ' ὑμῖν ῥεπούδιον δοῦσα, ἐχωρίσθη. ὁ δὲ καλὸς κἀγαθὸς ταύτης ἀνὴρ, δέον αὐτὸν χαίρειν, ὅτι ἃ πάλαι μετὰ τῶν ὑπηρετῶν καὶ τῶν μισθοφόρων εὐχερῶς ἔπραττε, μέθαις χαίρουσα καὶ κακίᾳ πάσῃ, τούτων μὲν τῶν πράξεων πέπαυτο, καὶ αὐτὸν τὰ αὐτὰ παύσασθαι πράττοντα ἐβούλετο· μὴ βουλομένου ἀπαλλαγείσης κατηγορίαν πεποίηται, λέγων αὐτὴν Χριστιανὴν εἶναι. καὶ ἡ μὲν βιβλίδιόν σοὶ τῷ αὐτοκράτορι ἀναδέδωκε, πρότερον συγχωρηθῆναι αὐτῇ διοικήσασθαι τὰ ἑαυτῆς ἀξιοῦσα· ἔπειτα ἀπολογήσασθαι περὶ τοῦ κατηγορήματος μετὰ τὴν τῶν πραγμάτων αὐτῆς διοίκησιν καὶ συνεχώρησας τοῦτο. ὁ δὲ ταύτης ποτὲ ἀνὴρ, πρὸς ἐκείνην μὲν μὴ δυνάμενος τανῦν ἔτι λέγειν, πρὸς Πτολεμαῖόν τινα, ὃν Οὔρβικος ἐκολάσατο, διδάσκαλον ἐκείνης τῶν Χριστιανῶν μαθημάτων γενόμενον, ἐτράπετο διὰ τοῦδε τοῦ τρόπου· ἑκατόνταρχον εἰς δεσμὰ ἐμβαλόντα τὸν Πτολεμαῖον, φίλον αὐτῷ ὑπάρχοντα, ἔπεισε λαβέσθαι τοῦ Πτολεμαίου, καὶ ἀνερωτῆσαι, εἰ αὐτὸ τοῦτο μόνον Χριστιανός ἐςι· καὶ τὸν Πτολεμαῖον, φιλαλήθη, ἀλλ' οὐκ ἀπατηλὸν οὐδὲ ψευδολόγον τὸν γνώμην ὄντα, ὁμολογήσαντα ἑαυτὸν εἶναι Χριστιανὸν, ἐν δεσμοῖς γενέσθαι ὁ ἑκατόνταρχος πεποίηκε, καὶ ἐπὶ πολὺν χρόνον ἐν τῷ δεσμωτηρίῳ ἐκολάσατο. τελευταῖον δὲ, ὅτε ἐπὶ Οὔρβικον ἦλθεν ὁ ἄνθρωπος, ὁμοίως αὐτὸ τοῦτο μόνον ἐξητάσθη, εἰ εἴη Χριστιανός· καὶ πάθη-

λιν τὰ καλὰ ἑαυτῷ συνεπιστάμενος διὰ τὴν ἀπὸ τοῦ Χριστοῦ διδαχὴν, τὸ διδασκάλιον τῆς θείας ἀρετῆς ὡμολόγησεν. ὁ γὰρ ἀρνούμενος ὁτιοῦν, ἢ κατεγνωκὼς τοῦ πράγματος, ἔξαρνος γίνεται, ἢ ἑαυτὸν ἀνάξιον ἐπιστάμενος καὶ ἀλλότριον τοῦ πράγματος, τὴν ὁμολογίαν φεύγει· ὧν οὐδὲν πρόσεστι τῷ ἀληθινῷ Χριστιανῷ. καὶ τοῦ Οὐρβίκου κελεύσαντος αὐτὸν ἀπαχθῆναι, Λούκιός τις, καὶ αὐτὸς ὢν Χριστιανὸς, ὁρῶν τὴν ἀλόγως οὕτως γενομένην κρίσιν, πρὸς τὸν Οὔρβικον ἔφη· τίς ἡ αἰτία τοῦ μήτε μοιχὸν, μήτε πόρνον, μήτε ἀνδροφόνον, μήτε λωποδύτην, μήτε ἅρπαγα, μήτε ἁπλῶς ἀδίκημά τι πράξαντα ἐλεγχόμενον, ὀνόματος δὲ Χριστιανοῦ προσωνυμίαν ὁμολογοῦντα τὸν ἄνθρωπον τοῦτον ἐκολάσω; οὐ πρέποντα εὐσεβεῖ αὐτοκράτορι, οὐδὲ φιλοσόφῳ Καίσαρος παιδὶ, οὐδὲ τῇ ἱερᾷ συγκλήτῳ κρίνεις, ὦ Οὔρβικε. καὶ ὃς, οὐδὲν ἄλλο ἀποκρινάμενος, καὶ πρὸς τὸν Λούκιον ἔφη, δοκεῖς μοι καὶ σὺ εἶναι τοιοῦτος. καὶ τοῦ Λουκίου φήσαντος, μάλιστα, πάλιν καὶ αὐτὸν ἀπαχθῆναι ἐκέλευσεν. ὁ δὲ καὶ χάριν εἰδέναι ὡμολόγει, πονηρῶν δεσποτῶν τοιούτων ἀπηλλάχθαι γινώσκων, καὶ πρὸς τὸν πατέρα καὶ βασιλέα τῶν οὐρανῶν πορεύεσθαι. καὶ ἄλλος δὲ τρίτος ἐπελθὼν, κολασθῆναι προσετιμήθη.

(§. 3.) Κἀγὼ οὖν προσδοκῶ ὑπό τινος τῶν ὠνομασμένων ἐπιβουλευθῆναι, καὶ ξύλῳ ἐμπαγῆναι, ἢ κἂν ὑπὸ Κρίσκεντος τοῦ φιλοψόφου καὶ φιλοκόμπου. οὐ γὰρ φιλόσοφον εἰπεῖν ἄξιον τὸν ἄνδρα· ὅς γε περὶ ἡμῶν ἃ μὴ ἐπίσταται, δημοσίᾳ καταμαρτυρεῖ, ὡς ἀθέων καὶ ἀσεβῶν Χριστιανῶν ὄντων, πρὸς χάριν καὶ ἡδονὴν τῶν πολλῶν τῶν πεπλανημένων ταῦτα πράττων.

των. εἴτε γὰρ μὴ ἐντυχὼν τοῖς τοῦ Χριστοῦ διδάγμασι, κατατρέχει ἡμῶν, παμπόνηρός ἐστι, καὶ ἰδιωτῶν πολλῷ χείρων, οἳ φυλάττονται πολλάκις περὶ ὧν οὐκ ἐπίστανται διαλέγεσθαι καὶ ψευδομαρτυρεῖν. ἢ εἰ ἐντυχὼν, μὴ συνῆκε τὸ ἐν αὐτοῖς μεγαλεῖον, ἢ συνεὶς, πρὸς τὸ μὴ ὑποπτευθῆναι τοιοῦτος ταῦτα ποιεῖ, πολὺ μᾶλλον ἀγενὴς καὶ παμπόνηρος, ἰδιωτικῆς καὶ ἀλόγου δόξης καὶ φόβου ἐλάττων ὤν. καὶ γὰρ προθέντα με καὶ ἐρωτήσαντα αὐτὸν ἐρωτήσεις τινὰς τοιαύτας, καὶ μαθεῖν, καὶ ἐλέγξαι ὅτι ἀληθῶς μηδὲν ἐπίσταται, εἰδέναι ὑμᾶς βούλομαι. καὶ ὅτι ἀληθῆ λέγω, εἰ μὴ ἀνηνέχθησαν ὑμῖν αἱ κοινωνίαι τῶν λόγων, ἕτοιμος καὶ ἐφ' ὑμῶν κοινωνεῖν τῶν ἐρωτήσεων πάλιν· βασιλικὸν δ' ἂν καὶ τοῦτο ἔργον εἴη. εἰ δὲ καὶ ἐγνώσθησαν ὑμῖν αἱ ἐρωτήσεις μου, καὶ αἱ ἐκείνου ἀποκρίσεις, φανερὸν ὑμῖν ἐστιν, ὅτι οὐδὲν τῶν ἡμετέρων ἐπίσταται, ἢ, εἰ καὶ ἐπίσταται, διὰ τοὺς ἀκούοντας δὲ οὐ τολμᾷ λέγειν ὁμοίως Σωκράτει, ὡς προέφην, οὐ φιλόσοφος, ἀλλὰ φιλόδοξος ἀνὴρ δείκνυται· ὅς γε μὴ τὸ Σωκρατικὸν ἀξιέραστον ὂν, τιμᾷ, ἀλλ' οὔτι γε πρὸ τῆς ἀληθείας τιμητέος ἀνήρ. Ἀδύνατον δὲ Κυνικῷ, ἀδιάφορον τὸ τέλος προεμένῳ, τὸ ἀγαθὸν εἰδέναι πλὴν ἀδιαφορίας.

(§. 4.) Ὅπως δὲ μή τις εἴπῃ, πάντες οὖν ἑαυτοὺς φονεύσαντες, πορεύεσθε ἤδη παρὰ τὸν Θεὸν, καὶ ἡμῖν πράγματα μὴ παρέχετε, ἐρῶ δι' ἣν αἰτίαν τοῦτο οὐ πράττομεν, καὶ δι' ἣν ἐξεταζόμενοι ἀφόβως ὁμολογοῦμεν. οὐκ εἰκῇ τὸν κόσμον πεποιηκέναι τὸν Θεὸν δεδιδάγμεθα, ἀλλ' ἢ διὰ τὸ ἀνθρώπειον γένος· χαίρειν τὲ τοῖς τὰ προσόντα αὐτῷ μιμουμένοις προέφημεν, ἀπαρέσκεσθαι δὲ τοῖς τὰ φαῦλα ἀσπαζομένοις, ἢ λόγῳ, ἢ ἔρ-

γῳ εἰ οὖν πάντες ἑαυτοὺς Φονεύσομεν, τοῦ καὶ γεννηθῆναί τινα, καὶ μαθητευθῆναι εἰς τὰ θεῖα διδάγματα, ἢ καὶ μὴ εἶναι τὸ ἀνθρώπειον γένος, ὅσον ἐφ' ἡμῖν, αἴτιοι ἐσόμεθα, ἐναντίον τῇ τοῦ Θεοῦ βουλῇ καὶ αὐτοὶ ποιοῦντες, ἐὰν τοῦτο πράξωμεν. ἐξεταζόμενοι δὲ οὐκ ἀρνούμεθα, διὰ τὸ συνεπίστασθαι ἑαυτοῖς μηδὲν Φαῦλον, ἀσεβὲς δὲ ἡγούμενοι μὴ κατὰ πάντα ἀληθεύειν, ὃ καὶ Φίλον τῷ Θεῷ γινώσκομεν· ὑμᾶς δὲ καὶ τῆς ἀδίκου προλήψεως ἀπαλλάξαι νῦν σπεύδοντες.

(§. 5.) Εἰ δέ τινα ὑπέλθοι καὶ ἡ ἔννοια αὕτη, ὅτι εἰ Θεὸν ὡμολογοῦμεν βοηθὸν, οὐκ ἂν, ὡς λέγομεν, ὑπὸ ἀδίκων ἐκρατούμεθα, καὶ ἐτιμωρούμεθα, καὶ τοῦτο διαλύσω. ὁ Θεὸς τὸν πάντα κόσμον ποιήσας, καὶ τὰ ἐπίγεια ἀνθρώποις ὑποτάξας, καὶ τὰ οὐράνια στοιχεῖα εἰς αὔξησιν καρπῶν, καὶ ὡρῶν μεταβολαῖς κοσμήσας, καὶ θεῖον τοῦτον νόμον τάξας, ἃ καὶ αὐτὰ δι' ἀνθρώπους Φαίνεται πεποιηκὼς, τὴν μὲν τῶν ἀνθρώπων καὶ τῶν ὑπὸ τὸν οὐρανὸν πρόνοιαν ἀγγέλοις, οὓς ἐπὶ τούτοις ἔταξε, παρέδωκεν· οἱ δ' ἄγγελοι παραβάντες τήνδε τὴν τάξιν, γυναικῶν μίξεσιν ἡττήθησαν, καὶ παῖδας ἐτέκνωσαν, οἵ εἰσιν οἱ λεγόμενοι δαίμονες· καὶ προσέτι λοιπὸν τὸ ἀνθρώπειον γένος ἑαυτοῖς ἐδούλωσαν. τὰ μὲν διὰ μαγικῶν γραΦῶν, τὰ δὲ διὰ Φόβων καὶ τιμωριῶν ἐπέΦερον, τὰ δὲ διὰ διδαχῆς θυμάτων καὶ θυμιαμάτων καὶ σπονδῶν, ὧν ἐνδεεῖς γεγόνασι μετὰ τὸ πάθεσιν ἐπιθυμιῶν δουλωθῆναι· καὶ εἰς ἀνθρώπους Φόνους, πολέμους, μοιχείας, ἀκολασίας, καὶ πᾶσαν κακίαν ἔσπειραν. ὅθεν καὶ ποιηταὶ καὶ μυθολόγοι, ἀγνοοῦντες τοὺς ἀγγέλους, καὶ τοὺς ἐξ αὐτῶν γεννηθέντας δαίμονας ταῦτα πρᾶξαι εἰς ἄῤ-

ῥε-

ρενας καὶ θηλείας, καὶ πόλεις καὶ ἔθνη, ἅπερ συνέγραψαν, εἰς αὐτὸν τὸν Θεὸν, καὶ τοὺς ὡς ἀπ' αὐτοῦ σπορᾷ γενομένους υἱοὺς, καὶ τῶν λεχθέντων ἐκείνου ἀδελφῶν, καὶ τέκνων ὁμοίως τῶν ἀπ' ἐκείνων, Ποσειδῶνος καὶ Πλούτωνος, ἀνήνεγκαν. ὀνόματι γὰρ ἕκαστον, ὅπερ ἕκαστος ἑαυτῷ τῶν ἀγγέλων καὶ τοῖς τέκνοις ἔθετο, προσηγόρευσαν.

(§. 6.) Ονομα δὲ τῷ πάντων πατρὶ θετὸν, ἀγεννήτῳ ὄντι, οὐκ ἔςιν. ᾧ γὰρ ἂν καὶ ὀνόματι προσαγορεύηται, πρεσβύτερον ἔχει τὸν θέμενον τὸ ὄνομα. τὸ δὲ Πατὴρ, καὶ Θεὸς, καὶ Κτίστης, καὶ Κύριος, καὶ Δεσπότης, οὐκ ὀνόματά ἐστιν, ἀλλ' ἐκ τῶν εὐποιϊῶν καὶ τῶν ἔργων προσρήσεις. ὁ δὲ υἱὸς ἐκείνου, ὁ μόνος λεγόμενος κυρίως υἱὸς, ὁ λόγος πρὸ τῶν ποιημάτων, καὶ συνὼν, καὶ γεννώμενος, ὅτε τὴν ἀρχὴν δι' αὐτοῦ πάντα ἔκτισε καὶ ἐκόσμησε· Χριστὸς μὲν, κατὰ τὸ κεχρίσθαι, καὶ κοσμῆσαι τὰ πάντα δι' αὐτοῦ τὸν Θεὸν, λέγεται· ὄνομα καὶ αὐτὸ περιέχον ἄγνωστον σημασίαν· ὃν τρόπον καὶ τὸ Θεὸς προσαγόρευμα οὐκ ὄνομά ἐςιν, ἀλλὰ πράγματος δυσεξηγήτου ἔμφυτος τῇ φύσει τῶν ἀνθρώπων δόξα. Ἰησοῦς δὲ καὶ ἀνθρώπου καὶ σωτῆρος ὄνομα καὶ σημασίαν ἔχει· καὶ γὰρ καὶ ἄνθρωπος, ὡς προέφημεν, γέγονε, κατὰ τὴν τοῦ Θεοῦ καὶ πατρὸς βουλὴν ἀποκυηθεὶς ὑπὲρ τῶν πιστευόντων ἀνθρώπων, καὶ καταλύσει τῶν δαιμόνων. καὶ νῦν ἐκ τῶν ὑπ' ὄψιν γινομένων μαθεῖν δύνασθε. δαιμονιολήπτους γὰρ πολλοὺς κατὰ πάντα τὸν κόσμον, καὶ ἐν τῇ ὑμετέρα πόλει, πολλοὶ τῶν ἡμετέρων ἀνθρώπων τῶν Χριστιανῶν, ἐπορκίζοντες κατὰ τοῦ ὀνόματος Ἰησοῦ Χριςοῦ τοῦ σταυρωθέντος ἐπὶ Ποντίου Πιλάτου,

ὑπὸ

ὑπὸ τῶν ἄλλων πάντων ἐπορκιστῶν καὶ ἐπαστῶν καὶ φαρμακευτῶν μὴ ἰαθέντας ἰάσαντο, καὶ ἔτι νῦν ἰῶνται, καταργοῦντες καὶ ἐκδιώκοντες τοὺς κατέχοντας τοὺς ἀνθρώπους δαίμονας.

(§. 7.) Ὅθεν καὶ ἐπιμένει ὁ Θεὸς τὴν σύγχυσιν καὶ κατάλυσιν του παντὸς κόσμου μὴ ποιῆσαι, ἵνα καὶ οἱ φαῦλοι ἄγγελοι, καὶ δαίμονες, καὶ ἄνθρωποι μηκέτι ὦσι, διὰ τὸ σπέρμα τῶν Χριςιανῶν, ὃ γινώσκει ἐν τῇ φύσει ὅτι αἰτιόν ἐστιν· ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐκ ἂν οὐδὲ ὑμῖν ταῦτα ἔτι ποιεῖν καὶ ἐνεργεῖσθαι ὑπὸ τῶν φαύλων δαιμόνων δυνατὸν ἦν, ἀλλὰ τὸ πῦρ τὸ τῆς κρίσεως κατελθὸν, ἀνέδην πάντα διέκρινεν, ὡς καὶ πρότερον ὁ κατακλυσμὸς μηδένα λιπὼν, ἀλλ' ἢ τὸν μόνον σὺν τοῖς ἰδίοις παρ' ἡμῖν καλούμενον Νῶε, παρ' ὑμῖν δὲ Δευκαλίωνα, ἐξ οὗ πάλιν οἱ τοσοῦτοι γεγόνασιν, ὧν οἱ μὲν φαῦλοι, οἱ δὲ σπουδαῖοι. οὕτω γὰρ ἡμεῖς τὴν ἐκπύρωσιν φαμὲν γενήσεσθαι, ἀλλ' οὐχ ὡς οἱ Στωϊκοὶ κατὰ τὸν τῆς εἰς ἄλληλα πάντων μεταβολῆς λόγον· ὃ αἴσχιστον ἐφάνη· ἀλλ' οὐδὲ καθ' εἱμαρμένην πράττειν τοὺς ἀνθρώπους ἢ πάσχειν τὰ γινόμενα, ἀλλὰ κατὰ μὲν τὴν προαίρεσιν ἕκαστον κατορθοῦν ἢ ἁμαρτάνειν· καὶ κατὰ τὴν τῶν φαύλων δαιμόνων ἐνέργειαν τοὺς σπουδαίους, οἷον Σωκράτην καὶ τοὺς ὁμοίους, διώκεσθαι, καὶ ἐν δεσμοῖς εἶναι· Σαρδανάπαλον δὲ, καὶ Ἐπίκουρον, καὶ τοὺς ὁμοίους, ἐν ἀφθονίᾳ καὶ δόξῃ δοκεῖν εὐδαιμονεῖν. ὃ μὴ νοήσαντες οἱ Στωϊκοὶ, καθ' εἱμαρμένης ἀνάγκην πάντα γίνεσθαι ἀπεφήναντο. ἀλλ' ὅτι αὐτεξούσιον τό τε τῶν ἀγγέλων γένος καὶ τῶν ἀνθρώπων τὴν ἀρχὴν ἐποίησεν ὁ Θεὸς, δικαίως ὑπὲρ ὧν ἂν πλημμελήσωσι, τὴν τιμωρίαν ἐν αἰωνίῳ πυρὶ κομίσον-

σονται. γεννητοῦ δὲ παντὸς ἥδε ἡ Φύσις, κακίας καὶ ἀρετῆς δεικτικὸν εἶναι· οὐ γὰρ ἂν ἦν ἐπαινετὸν οὐδὲν αὐτῶν, εἰ οὐκ ἦν ἐπ' ἀμφότερα τρέπεσθαι, καὶ δύναμιν εἶχε. δεικνύουσι δὲ τοῦτο καὶ οἱ πανταχοῦ κατὰ λόγον τὸν ὀρθὸν νομοθετήσαντες καὶ Φιλοσοφήσαντες ἄνθρωποι, ἐκ τοῦ ὑπαγορεύειν τόδε μὲν πράττειν, τῶνδε δὲ ἀπέχεσθαι· καὶ οἱ Στωϊκοὶ Φιλόσοφοι, ἐν τῷ περὶ ἠθῶν λόγῳ, τὰ αὐτὰ τιμῶσι καρτερῶς· ὡς δηλοῦσθαι ἐν τῷ περὶ ἀρχῶν καὶ ἀσωμάτων λόγῳ οὐκ εὐοδοῦν αὐτούς. εἴτε γὰρ καθ' εἱμαρμένην Φήσουσι τὰ γινόμενα πρὸς ἀνθρώπων γίνεσθαι, ἢ μηδὲν εἶναι Θεὸν, παρατρεπόμενα καὶ ἀλλοιούμενα, καὶ ἀναλυόμενα εἰς τὰ αὐτὰ ἀεὶ, Φθαρτῶν μόνων Φανήσονται κατάληψιν ἐσχηκέναι, καὶ αὐτὸν τὸν Θεὸν διά τε τῶν μερῶν, διά τε τοῦ ὅλου ἐν πάσῃ κακίᾳ γινόμενον· ἢ μηδὲν εἶναι κακίαν, μηδ' ἀρετήν, ὅπερ καὶ παρὰ πᾶσαν σώφρονα ἔννοιαν, καὶ λόγον, καὶ νοῦν ἐςί.

(§.8.) Καὶ τοὺς ἀπὸ τῶν Στωϊκῶν δὲ δογμάτων, ἐπειδὴ κἂν τὸν ἠθικὸν λόγον κόσμιοι γεγόνασιν, ὡς καὶ ἔν τισιν οἱ ποιηταὶ διὰ το ἔμφυτον παντὶ γένει ἀνθρώπων σπέρμα τοῦ λόγου, μεμισῆσθαι καὶ πεφονεῦσθαι οἴδαμεν· Ηράκλειτον μὲν, ὡς προέφημεν, καὶ Μουσώνιον δὲ ἐν τοῖς καθ' ἡμᾶς, καὶ ἄλλους οἴδαμεν. ὡς γὰρ ἐσημάναμεν, πάντας τοὺς κἂν ὁπωσδήποτε κατὰ λόγον βιοῦν σπουδάζοντας, καὶ κακίαν Φεύγειν, μισεῖσθαι ἀεὶ ἐνήργησαν οἱ δαίμονες. οὐδὲν δὲ θαυμαστὸν, εἰ τοὺς κατὰ σπερματικοῦ λόγου μέρος, ἀλλὰ κατὰ τὴν τοῦ παντὸς λόγου, ὅ ἐςι Χριστοῦ, γνῶσιν καὶ θεωρίαν, πολὺ μᾶλλον μισεῖσθαι οἱ δαίμονες ἐλεγχόμενοι ἐνεργοῦσιν· οἳ

τὴν

τὴν ἀξίαν κόλασιν καὶ τιμωρίαν κομίσονται, ἐν αἰωνίῳ πυρὶ ἐγκλεισθέντες. εἰ γὰρ ὑπὸ τῶν ἀνθρώπων ἤδη διὰ τοῦ ὀνόματος Ἰησοῦ Χριστοῦ ἡττῶνται, δίδαγμά ἐςι τῆς καὶ μελλούσης αὐτοῖς καὶ τοῖς λατρεύουσιν αὐτοῖς ἐσομένης ἐν πυρὶ αἰωνίῳ κολάσεως. οὕτως γὰρ καὶ οἱ προφῆται πάντες προεκήρυξαν γενήσεσθαι, καὶ Ἰησοῦς ὁ ἡμέτερος διδάσκαλος ἐδίδαξε.

(§. 9.) Ινα δὲ μή τις εἴπῃ τὸ λεγόμενον ὑπὸ τῶν νομιζομένων φιλοσόφων, ὅτι κόμποι καὶ φόβητρά ἐστι τὰ λεγόμενα ὑφ' ἡμῶν, ὅτι κολάζονται ἐν αἰωνίῳ πυρὶ οἱ ἄδικοι, καὶ διὰ φοβὸν, ἀλλ' οὐ διὰ τὸ καλὸν εἶναι καὶ ἀρεστὸν, ἐναρέτως βιοῦν τοὺς ἀνθρώπους ἀξιοῦμεν, βραχυεπῶς πρὸς τοῦτο ἀποκρινοῦμαι, ὅτι εἰμὴ τουτο ἐστιν, οὔτε ἐςι Θεός, ἢ εἰ ἔςιν, οὐ μέλει αὐτῷ τῶν ἀνθρώπων, καὶ οὐδὲν ἐςιν ἀρετὴ, οὐδὲ κακία, καὶ ὡς προέφημεν, ἀδίκως τιμωροῦσιν οἱ νομοθέται τοὺς παραβαίνοντας τὰ διατεταγμένα καλά. ἀλλ' ἐπεὶ οὐκ ἄδικοι ἐκεῖνοι, καὶ ὁ αὐτῶν πατὴρ τὰ αὐτὰ αὐτῷ πράττειν διὰ τοῦ λόγου διδάσκων, οἵ τούτοις συντιθέμενοι, οὐκ ἄδικοι. ἐὰν δὲ τις τοὺς διαφόρους νομους τῶν ἀνθρώπων προβάληται, λέγων ὅτι παρ' οἷς μὲν ἀνθρώποις τάδε καλὰ, τὰ δὲ αἰσχρὰ νενόμισται, παρ' ἄλλοις δὲ τὰ παρ' ἐκείνοις αἰσχρὰ καλὰ, καὶ τὰ καλὰ αἰσχρὰ νομίζεται, ἀκουέτω καὶ τῶν εἰς τοῦτο λεγομένων. καὶ νόμους διατάξασθαι τῇ ἑαυτῶν κακίᾳ ὁμοίους τοὺς πονηροὺς ἀγγέλους ἐπιστάμεθα, οἷς χαίρουσιν οἱ ὅμοιοι γενόμενοι ἄνθρωποι· καὶ ὀρθὸς λόγος παρελθὼν, οὐ πάσας δόξας, οὐδὲ πάντα δόγματα καλὰ ἀποδείκνυσιν, ἀλλὰ τὰ μὲν φαῦλα, τὰ δὲ ἀγαθά· ὥστε μοι καὶ πρὸς

τοὺς

τοὺς τοιούτους τὰ αὐτὰ καὶ τὰ ὅμοια εἰρήσεται, καὶ λεχθήσεται διὰ πλειόνων ἐὰν χρεία ᾖ· τανῦν δὲ ἐπὶ τὸ προκείμενον ἀνέρχομαι.

(§. 10) Μεγαλειότερα μὲν οὖν πάσης ἀνθρωπείου διδασκαλίας Φαίνεται τὰ ἡμέτερα· διὰ τοῦτο λογικὸν τὸ ὅλον τὸν Φανέντα δι' ἡμᾶς Χριστὸν γεγονέναι, καὶ σῶμα, καὶ λόγον, καὶ ψυχήν. ὅσα γὰρ καλῶς ἀεὶ ἐφθέγξαντο καὶ εὗρον οἱ Φιλοσοφήσαντες ἢ νομοθετήσαντες, κατὰ λόγου μέρος εὑρέσεως καὶ θεωρίας ἐστὶ πονηθέντα αὐτοῖς. ἐπειδὴ δὲ οὐ πάντα τὰ τοῦ λόγου ἐγνώρισαν, ὅς ἐστι Χριστὸς, καὶ ἐναντία ἑαυτοῖς πολλάκις εἶπον· καὶ οἱ προγεγραμμένοι τοῦ Χριστοῦ κατὰ τὸ ἀνθρώπινον, λόγῳ πειραθέντες τὰ πράγματα θεωρῆσαι καὶ ἐλέγξαι, ὡς ἀσεβεῖς καὶ περίεργοι εἰς δικαστήρια ἤχθησαν. ὁ πάντων δὲ αὐτῶν εὐτονώτερος πρὸς τοῦτο γενόμενος Σωκράτης, τὰ αὐτὰ ἡμῖν ἐνεκλήθη. καὶ γὰρ ἔφασαν αὐτὸν καινὰ δαιμόνια εἰσΦέρειν, καὶ οὓς ἡ πόλις νομίζει Θεοὺς, μὴ ἡγεῖσθαι αὐτόν. ὁ δὲ δαίμονας μὲν τοὺς Φαύλους, καὶ τοὺς πράξαντας ἃ ἔφασαν οἱ ποιηταὶ, ἐκβαλὼν τῆς πολιτείας, καὶ Ὅμηρον, καὶ τοὺς ἄλλους ποιητὰς παραιτεῖσθαι τοὺς ἀνθρώπους ἐδίδαξε· πρὸς Θεοῦ δὲ τοῦ ἀγνώστου αὐτοῖς, διὰ λόγου ζητήσεως, ἐπίγνωσιν προὐτρέπετο εἰπών· τὸν δὲ πατέρα καὶ δημιουργὸν πάντων οὔθ' εὑρεῖν ῥᾴδιον, οὔθ' εὑρόντα εἰς πάντας εἰπεῖν ἀσφαλές. ἃ ὁ ἡμέτερος Χριστὸς διὰ τῆς ἑαυτοῦ δυνάμεως ἔπραξε. Σωκράτει μὲν γὰρ οὐδεὶς ἐπιστεύθη, ὑπὲρ τούτου τοῦ δόγματος ἀποθνήσκειν· Χριστῷ δὲ τῷ καὶ ὑπὸ Σωκράτους ἀπὸ μέρους γνωσθέντι (λόγος γὰρ ἦν καὶ ἔστιν ὁ ἐν παντὶ ὢν καὶ διὰ τῶν προφητῶν προειπὼν τὰ μέλλοντα γίνεσθαι, καὶ

καὶ δι' ἑαυτοῦ ὁμοιοπαθοῦς γενομένου καὶ διδάξαντος ταῦτα) οὐ φιλόσοφοι οὐδὲ φιλολόγοι μόνον ἐπείσθησαν, ἀλλὰ καὶ χειροτέχναι, καὶ παντελῶς ἰδιῶται, καὶ δόξης καὶ φόβου καὶ θανάτου καταφρονήσαντες· ἐπειδὴ δύναμίς ἐςι τοῦ ἀῤῥήτου πατρὸς, καὶ οὐχὶ ἀνθρωπείου λόγου τὰ σκεύη. οὐκ ἂν δὲ οὐδὲ ἐφονευόμεθα οὐδὲ δυνατώτεροι ἡμῶν ἦσαν οἵτε ἄδικοι ἄνθρωποι καὶ δαίμονες, εἰ μὴ πάντως παντὶ γεννωμένῳ ἀνθρώπῳ καὶ θανεῖν ὠφείλετο. ὅθεν καὶ τὸ ὄφλημα ἀποδιδόντες, εὐχαριστοῦμεν.

(§. 11.) Καί τοί γε καὶ τὸ Ξενοφώντειον ἐκεῖνο νῦν πρός τε Κρίσκεντα, καὶ τοὺς ὁμοίως αὐτῷ ἀφραίνοντας, καλὸν καὶ εὔκαιρον εἰπεῖν ἡγούμεθα. τὸν Ηρακλέα ἐπὶ τρίοδόν τινὰ ἔφη ὁ Ξενοφῶν βαδίζοντα, εὑρεῖν τήν τε ἀρετὴν καὶ τὴν κακίαν, ἐν γυναικῶν μορφαῖς φαινομένας· καὶ τὴν μὲν κακίαν, ἁβρᾷ ἐσθῆτι, καὶ ἐρωτοπεποιημένῳ καὶ ἀνθοῦντι ἐκ τῶν τοιούτων προσώπῳ, θελκτικήν τε εὐθὺς πρὸς τὰς ὄψεις οὖσαν, εἰπεῖν πρὸς τὸν Ηρακλέα, ὅτι ἢν αὐτῇ ἕπηται, ἡδόμενόν τι καὶ κεκοσμημένον τῷ λαμπροτάτῳ, καὶ ὁμοίῳ τῷ περὶ αὐτὴν κόσμῳ διαιτήσειν ἀεὶ ποιήσει. καὶ τὴν ἀρετὴν ἐν αὐχμηρῷ μὲν τῷ προσώπῳ καὶ τῇ περιβολῇ οὖσαν, εἰπεῖν· 'Αλλ' ἢν ἐμοὶ πείθῃ, οὐ κόσμῳ, οὐδὲ κάλλει τῷ ῥέοντι, καὶ φθειρομένῳ ἑαυτὸν κοσμήσεις, ἀλλὰ τοῖσ ἀϊδίοις καὶ καλοῖς κόσμοις, καὶ πάνθ' ὁντινοῦν πεπείσμεθα φεύγοντα τὰ δοκοῦντα καλὰ, τὰ δὲ νομιζόμενα σκληρὰ καὶ ἄλογα μετερχόμενον, εὐδαιμονίαν ἐκδεχεσθαι· ἡ γὰρ κακία, πρόβλημα ἑαυτῆς τῶν πράξεων τὰ προσόντα τῇ ἀρετῇ καὶ ὄντως ὄντα καλὰ διὰ μιμήσεως φθαρτῶν περιβαλλομένη, ἄφθαρτον γὰρ οὐδὲν ἔχει, οὐδὲ ποιῆσαι δυνάται· δουλαγωγεῖ τοὺς χα-

χαμαιπετεῖς τῶν ἀνθρώπων, τὰ προσόντα αὐτῇ Φαῦλα τῇ ἀρετῇ περιθεῖσα. οἱ δὲ νενοηκότες τὰ προσόντα τῷ ὄντι καλὰ, καὶ ἄφθαρτοι τῇ ἀρετῇ. ὃ καὶ περὶ Χριστιανῶν, καὶ τῶν ἀπὸ τοῦ ἄθλου τῶν ἀνθρώπων, καὶ τῶν τοιαῦτα πραξάντων, ὁποῖα ἔφθασαν οἱ ποιηταὶ περὶ τῶν νομιζομένων θεῶν, ὑπολαβεῖν δεῖ πάντα οὖν ἔχει, ἐκ τοῦ καὶ τοῦ Φευκτοῦ καταφρονεῖν ἡμᾶς θανάτου, λογισμὸν ἕλκοντα.

(§. 12.) Καὶ γὰρ αὐτὸς ἐγὼ τοῖς Πλάτωνος χαίρων διδάγμασι, διαβαλλομένους ἀκούων Χριστιανοὺς, ὁρῶν δὲ ἀφόβους πρὸς θάνατον, καὶ πάντα τὰ ἄλλα νομιζόμενα φοβερὰ, ἐνενόουν ἀδύνατον εἶναι ἐν κακίᾳ καὶ Φιληδονίᾳ ὑπάρχειν αὐτούς. τίς γὰρ Φιλήδονος, ἢ ἀκρατὴς, καὶ ἀνθρωπίνων σαρκῶν βορὰν ἀγαθὸν ἡγούμενος, δύναιτο ἂν θάνατον ἀσπάζεσθαι, ὅπως τῶν αὐτου ἀγαθῶν στερηθῇ. ἀλλ' οὐκ ἐκ παντὸς ζῆν μὲν ἀεὶ τὴν ἐνθάδε βιοτὴν, καὶ λανθάνειν τοὺς ἄρχοντας ἐπειρᾶτο· οὐχ ὅτι γε ἑαυτὸν κατήγγειλε Φονευθησόμενον; ἤδη καὶ τοῦτο ἐνήργησαν οἱ Φαῦλοι δαίμονες διά τινῶν πονηρῶν ἀνθρώπων πραχθῆναι. Φονεύοντες γὰρ αὐτοί τινὰς ἐπὶ συκοφαντίᾳ τῇ εἰς ἡμᾶς, καὶ εἰς βασάνους εἵλκυσαν οἰκέτας τῶν ἡμετέρων, ἢ παῖδας, ἢ γύναια, καὶ δι' αἰκισμῶν Φοβερῶν ἐξαναγκάζουσι κατειπεῖν ταῦτα τὰ μυθολογούμενα, ἃ αὐτοὶ Φανερῶς πράττουσιν· ὧν ἐπειδὴ οὐδὲν πρόσεστιν ἡμῖν, οὐ Φροντίζομεν, Θεὸν τὸν ἀγέννητον καὶ ἄῤῥητον μάρτυρα ἔχοντες τῶν τε λογισμῶν καὶ τῶν πράξεων. τίνος γὰρ χάριν οὐχὶ καὶ ταῦτα δημοσίᾳ ὡμολογοῦμεν ἀγαθὰ, καὶ Φιλοσοφίαν θείαν αὐτὰ ἀπεδείκνυμεν, Φάσκοντες, Κρόνου μὲν μυστήρια τελεῖν ἐν τῷ ἀνδροφονεῖν, καὶ ἐν τῷ αἵματος ἐμπίπλασθαι, ὡς λέγεται,

τὰ ἴσα τῷ παρ᾽ ὑμῖν τιμωμένῳ εἰδώλῳ, ᾧ οὐ μόνον ἀλόγων ζώων αἵματα προσραίνεται, ἀλλὰ καὶ ἀνθρώπεια, διὰ τοῦ παρ᾽ ὑμῖν ἐπισημοτάτου καὶ εὐγενεστάτου ἀνδρὸς τὴν πρόσχυσιν τοῦ τῶν Φονευθέντων αἵματος ποιούμενοι· Διὸς δὲ καὶ τῶν ἄλλων θεῶν μιμηταὶ γενόμενοι ἐν τῷ ἀνδροβατεῖν καὶ γυναιξὶν ἀδεῶς μίγνυσθαι, Επικούρου μὲν καὶ τὰ τῶν ποιητῶν συγγράμματα ἀπολογίαν Φέροντες; ἐπειδὴ δὲ ταῦτα τὰ μαθήματα, καὶ τοὺς ταῦτα πράξαντας καὶ μιμουμένους, Φεύγειν πείθομεν, ὡς καὶ νῦν διὰ τῶνδε τῶν λόγων ἠγωνίσμεθα, ποικίλως πολεμούμεθα. ἀλλ᾽ οὐ Φροντίζομεν, ἐπει Θεὸν τῶν πάντων ἐπόπτην δίκαιον οἴδαμεν. εἰ δὲ καὶ νῦν τὶς ἦν, τραγικῇ Φωνῇ ἀνεβόησεν ἐπὶ τὶ βῆμα ὑψηλὸν ἀναβὰς, αἰδέσθητε, αἰδέσθητε, ἃ Φανερῶς πράττετε εἰς ἀναιτίους ἀναΦέροντες, καὶ τὰ προσόντα καὶ ἑαυτοῖς καὶ τοῖς ὑμετέροις θεοῖς, περιβάλλοντες τούτοις, ὧν οὐδὲν οὐδ᾽ ἐπὶ ποσὸν μετουσία ἐστι. μετάθεσθε, σωΦρονίσθητε.

(§. 13.) Καὶ γὰρ ἐγὼ μαθὼν περίβλημα πονηρὸν, εἰς ἀποστροΦὴν τῶν ἄλλων ἀνθρώπων, περιτεθειμένον ὑπὸ τῶν Φαύλων δαιμόνων τοῖς Χριστιανῶν θείοις διδάγμασι, καὶ ψευδολογούμενον ταῦτα, καὶ τοῦ περιβλήματος κατεγέλασα, καὶ τῆς παρὰ τοῖς πολλοῖς δόξης. Χριστιανὸς εὑρεθῆναι καὶ εὐχόμενος, καὶ παμμάχως ἀγωνιζόμενος ὁμολογῶ· οὐχ ὅτι ἀλλότριά ἐστι τὰ Πλάτωνος διδάγματα τοῦ Χριστοῦ, ἀλλ᾽ ὅτι οὐκ ἔστι πάντη ὅμοια, ὥσπερ οὐδὲ τὰ τῶν ἄλλων, Στωϊκῶν τε, καὶ ποιητῶν, καὶ συγγραΦέων. ἕκαστος γὰρ τις ἀπὸ μέρους τοῦ σπερματικοῦ θείου λόγου τὸ συγγενὲς ὁρῶν καλῶς ἐφθέγξατο· οἱ δὲ τἀναντία αὐτοῖς ἐν

κυ-

κυριωτέροις εἰρηκότες, οὐκ ἐπιστήμην τὴν ἄποπτον, καὶ γνῶσιν τὴν ἀνέλεγκτον φαίνονται ἐσχηκέναι. ὅσα οὖν παρὰ πᾶσι καλῶς εἴρηται, ἡμῶν τῶν Χριστιανῶν ἐστί. τὸν γὰρ ἀπὸ ἀγεννήτου καὶ ἀῤῥήτου Θεοῦ λόγον μετὰ τὸν Θεὸν προσκυνοῦμεν καὶ ἀγαπῶμεν, ἐπειδὴ καὶ δι' ἡμᾶς ἄνθρωπος γέγονεν, ὅπως καὶ τῶν παθῶν τῶν ἡμετέρων συμμέτοχος γενόμενος, καὶ ἴασιν ποιήσηται. οἱ γὰρ συγγραφεῖς πάντες, διὰ τῆς ἐνούσης ἐμφύτου τοῦ λόγου σπορᾶς, ἀμυδρῶς ἐδύναντο ὁρᾷν τὰ ὄντα. ἕτερον γάρ ἐστι σπέρμα τινὸς καὶ μίμημα κατὰ δύναμιν δοθὲν, καὶ ἕτερον αὐτὸ, οὗ κατὰ χάριν τὴν ἀπ' ἐκείνου ἡ μετουσία καὶ μίμησις γίνεται.

(§. 14.) Καὶ ὑμᾶς οὖν ἀξιοῦμεν ὑπογράψαντας τὸ ὑμῖν δοκοῦν, προθεῖναι τουτὶ τὸ βιβλίδιον, ὅπως καὶ τοῖς ἄλλοις τὰ ἡμέτερα γνωσθῇ, καὶ δύνωνται τῆς ψευδοδοξίας καὶ ἀγνοίας τῶν καλῶν ἀπαλλαγῆναι, οἳ παρὰ τὴν ἑαυτῶν αἰτίαν ὑπεύθυνοι ταῖς τιμωρίαις γίνονται, εἰς τὸ γνωσθῆναι τοῖς ἀνθρώποις ταῦτα· διὸ ἐν τῇ φύσει τῇ τῶν ἀνθρώπων εἶναι τὸ γνωριστὸν καλοῦ καὶ αἰσχροῦ· καὶ διὰ τὸ ἡμῶν, οὓς οὐκ ἐπίστανται, τοιαῦτα ὁποῖα λέγουσιν αἰσχρὰ καταψηφιζομένους, καὶ διὰ τὸ χαίρειν τοιαῦτα πράξασι θεοῖς καὶ ἔτι νῦν ἀπαιτοῦσι παρὰ ἀνθρώπων τὰ ὅμοια, ἐκ τοῦ καὶ ἡμῖν, ὡς τοιαῦτα πράττουσι, θάνατον ἢ δεσμὰ ἢ ἄλλο τι τοιοῦτον πρόστιμον, ἑαυτοὺς κατακρίνειν, ὡς μὴ δέεσθαι ἄλλων δικαστῶν.

(§. 15.) Καὶ τοῦ ἐν τῷ ἐμῷ ἔθνει ἀσεβοῦς καὶ πλάνου Σιμωνιανοῦ διδάγματος κατεφρόνησα. ἐὰν δὲ ὑμεῖς τοῦτο προγράψητε, ἡμεῖς τοῖς πᾶσι φανερὸν ποιήσαιμεν, ἵνα εἰ δύναιντο μεταβάλωνται· τούτου γε μόνου χάριν τούσδε τοὺς

λόγους συνετάξαμην. οὐκ ἔστι δὲ ἡμῶν τὰ διδάγματα κατὰ κρίσιν σώφρονα αἰσχρὰ, ἀλλὰ πάσης μὲν φιλοσοφίας ἀνθρωπείου ὑπέρτερα. εἰ δὲ μὴ, κἂν Σωταδείοις καὶ Φιλαινιδείοις καὶ ὀρχηστικοῖς καὶ Ἐπικουρείοις, καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ποιητικοῖς διδάγμασιν οὐχ ὅμοια, οἷς ἐντυγχάνειν πᾶσι, καὶ γενομένοις καὶ γεγραμμένοις συγκεχώρηται. καὶ παυσόμεθα λοιπὸν ὅσον ἐφ' ἡμῖν ἦν πράξαντες, καὶ προσεπευξάμενοι τῆς ἀληθείας καταξιωθῆναι τοὺς πάντη πάντας ἀνθρώπους. εἴη οὖν καὶ ὑμᾶς ἀξίως εὐσεβείας καὶ φιλοσοφίας τὰ δίκαια ὑπὲρ ἑαυτῶν κρῖναι.

III.

Ex Athenagorae
Apologia s. Legatione pro Christianis.

ΑΘΗΝΑΓΟΡΟΥ
ΑΘΗΝΑΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΧΡΙΣΤΙΑΝΟΥ ΠΡΕΣΒΕΙΑ ΠΕΡΙ ΧΡΙΣΤΙΑΝΩΝ.

1. *Introitus.*

Αὐτοκράτορσι, Μάρκῳ Αὐρηλίῳ Αντονίνῳ, καὶ Λουκίῳ Αὐρηλίῳ Κομμόδῳ, Αρμενιάκοις, Σαρματίκοις, τὸ δὲ μέγιστον, φιλοσόφοις.

(§. 1.) Ηυμετερα, μεγάλοι βασιλέων, οἰκουμένη, ἄλλος ἄλλοις ἔθεσι χρῶνται καὶ νόμοις, καὶ οὐ-

οὐδεὶς αὐτων, νόμῳ καὶ φόβῳ δίκης, κἂν γελοῖα ᾖ, μὴ ςέργειν τὰ πάτρια εἴργεται. ἀλλ' ὁ μὲν Ιλιεὺς θεὸν Εκτορα λέγει, καὶ τὴν Ελένην Αδράςειαν ἐπιςάμενος προσκυνεῖ· ὁ δὲ Λακεδαιμόνιος, Αγαμέμνονα Δία, καὶ Φυλονόην τὴν Τυνδάρεω θυγατέρα, καὶ Τέννην Οδίαν σέβει. ὁ δὲ Αθηναῖος, Ερεχθεῖ Ποσειδῶνι θύει. καὶ Αγραύλῳ Αθηναῖοι καὶ τελετὰς καὶ μυςήρια ἄγουσι, καὶ Πανδρόσῳ, αἳ ἐνομίσθησαν ἀσεβεῖν, ἀνοίξασαι τὴν λάρνακα. καὶ ἑνὶ λόγῳ, κατὰ ἔθνη καὶ δήμους, θυσίας κατάγουσιν ἃς ἂν ἐθέλωσιν ἄνθρωποι, καὶ μυςήρια. οἱ δὲ Αἰγύπτιοι καὶ αἰλούρους καὶ κροκοδείλους καὶ ὄφεις καὶ ἀσπίδας καὶ κύνας, θεοὺς νομίζουσι. καὶ τούτοις πᾶσιν ἐπιτρέπετε καὶ ὑμεῖς καὶ οἱ νόμοι· τὸ μὲν οὖν μηδ' ὅλως θεὸν ἡγεῖσθαι, ἀσεβὲς καὶ ἀνόσιον νομίσαντες· τὸ δὲ, οἷς ἕκαςος βούλεται χρῆσθαι ὡς θεοῖς, ἀναγκαῖον· ἵνα τῷ πρὸς τὸ θεῖον δέει, ἀπέχωνται τοῦ ἀδικεῖν. ἡμῖν δὲ (καὶ μὴ παρακρουσθῆτε, ὡς οἱ πολλοὶ, ἐξ ἀκοῆς) τῷ ὀνόματι ἀπεχθάνεσθε. οὐ γὰρ τὰ ὀνόματα μίσους ἄξια, ἀλλὰ τὸ ἀδίκημα δίκης καὶ τιμωρίας. διόπερ τὸ πρᾶον ὑμῶν καὶ ἥμερον καὶ τὸ πρὸς ἅπαντα εἰρηνικὸν καὶ φιλάνθρωπον θαυμάζοντες, οἱ μὲν καθ' ἕνα, ἰσονομοῦνται· αἱ δὲ πόλεις, πρὸς ἀξίαν τῆς ἴσης μετέχουσι τιμῆς· καὶ ἡ σύμπασα οἰκουμένη τῇ ὑμετέρᾳ συνέσει βαθείας εἰρήνης ἀπολαύουσιν. ἡμεῖς δὲ οἱ λεγόμενοι Χριςιανοὶ (ὅτι μὴ προνενόησθε καὶ ἡμῶν, συγχωρεῖτε δὲ, μηδὲν ἀδικοῦντας, ἀλλὰ καὶ πάντων, ὡς προϊόντος τοῦ λόγου δειχθήσεται, εὐσεβέςατα διακειμένους καὶ δικαιότατα πρός τε τὸ θεῖον καὶ τὴν ὑμετέραν βασιλείαν, ἐλαύνεσθαι καὶ φέρεσθαι και διώκεσθαι,

θαι, ἐπὶ μόνῳ ὀνόματι προσπολεμούντων ἡμῖν τῶν πολλῶν) μηνῦσαι τὰ καθ' ἑαυτοὺς ἐτολμήσαμεν (διδαχθήσεσθε δὲ ὑπὸ τοῦ λόγου, ἄτερ δίκης καὶ παρὰ πάντα νόμον καὶ λόγον πάσχοντας ἡμᾶς) καὶ δεόμεθα ὑμῶν καὶ περὶ ἡμῶν τι σκέψασθαι, ὅπως παυσώμεθά ποτε ὑπὸ τῶν συκοφαντῶν σφαττόμενοι. οὐδὲ γὰρ εἰς χρήματα ἡ παρὰ τῶν διωκόντων ζημία, οὐδὲ εἰς ἐπιτιμίαν ἡ αἰσχύνη, ἢ εἰς ἄλλο τὶ τῶν μειζόνων ἡ βλάβη (τούτων γὰρ καταφρονοῦμεν, κἂν τοῖς πολλοῖς δοκῇ σπουδαῖά γε ὄντα· οὐ μόνον τὸ ἀντιπαίειν, οὐδὲ μὴν δικάζεσθαι τοῖς ἄγουσι καὶ ἁρπάζουσιν ἡμᾶς, μεμαθηκότες· ἀλλὰ τοῖς μὲν, κἂν κατὰ κόῤῥης προσπηλακίζωσι, καὶ τὸ ἕτερον παίειν παρέχειν τῆς κεφαλῆς μέρος. τοῖς δὲ, εἰ τὸν χιτῶνα ἀφαιροῖντο, ἐπιδιδόναι καὶ τὸ ἱμάτιον) ἀλλ' εἰς τὰ σώματα καὶ τὰς ψυχὰς, ὅταν ἀπείπωμεν τοῖς χρήμασιν, ἐπιβουλεύουσιν ἡμῖν, κατασκεδάζοντες ὄχλον ἐγκλημάτων· ἃ ἡμῖν μὲν, οὐδὲ μέχρις ὑπονοίας, τοῖς δὲ ἀδολεχοῦσι καὶ τῷ ἐκείνων πρόσεςι γρύει.

(§. 2.) Καὶ εἰ μὲν τις ἡμᾶς ἐλέγχειν ἔχει ἢ μικρὸν ἢ μεῖζον ἀδικοῦντας, κολάζεσθαι οὐ παραιτούμεθα, ἀλλὰ καὶ ἥτις πικροτάτη καὶ ἀνηλεὴς τιμωρία, ὑπέχειν ἀξιοῦμεν· εἰ δὲ μέχρις ὀνόματος ἡ κατηγορία (εἰς γοῦν τὴν σήμερον ἡμέραν ἃ περὶ ἡμῶν λογοποιοῦσιν, ἡ κοινὴ καὶ ἄκριτος τῶν ἀνθρώπων φήμη· καὶ οὐδεὶς ἀδικῶν Χριςιανὸς ἐλήλεγκται) ὑμῶν ἤδη ἔργον τῶν μεγίςων καὶ φιλανθρώπων καὶ φιλομαθεςάτων βασιλέων, ἀποσκευάσαι ἡμῶν νόμῳ τὴν ἐπήρειαν· ἵν' ὥσπερ ἡ σύμπασα ταῖς παρ' ὑμῶν εὐεργεσίαις καὶ καθ' ἕνα κεκοινώνηκε καὶ κατὰ πόλεις, καὶ ἡμεῖς ἔχωμεν ὑμῖν χά-

χάριν, σεμνυνόμενοι ὅτι πεπαύμεθα συκοφαντούμενοι. καὶ γὰρ οὐ πρὸς τῆς ὑμετέρας δικαιοσύνης, τοὺς μὲν ἄλλους, αἰτίαν λαβόντας ἀδικημάτων, μὴ πρότερον ἢ ἐλεγχθῆναι κολάζεσθαι, ἐφ' ἡμῶν δὲ μεῖζον ἰσχύειν τὸ ὄνομα τῶν ἐπὶ τῇ δίκῃ ἐλέγχων· οὐκ εἰ ἠδίκησέ τι ὁ κρινόμενος, τῶν δικαζόντων ἐπιζητούντων, ἀλλ' εἰς τὸ ὄνομα, ὡς εἰς ἀδίκημα, ἐνυβριζόντων. οὐδὲν δὲ ὄνομα ἐφ' ἑαυτοῦ καὶ δι αὐτοῦ, οὐ πονηρὸν οὔτε χρηϛὸν νομίζεται. διὰ δὲ τὰς ὑποκειμένας αὐτοῖς ἢ πονηρὰς ἢ ἀγαθὰς πράξεις, ἢ φλαῦρα ἢ ἀγαθὰ δοκεῖ. ὑμεῖς δέ ταῦτα ἴϛε φανερώτερον, ὡσανεὶ ἀπὸ φιλοσοφίας καὶ παιδείας πάσης ὁρμώμενοι. διὰ τοῦτο καὶ οἱ παρ' ὑμῖν κρινόμενοι, κἂν ἐπὶ μεγίϛοις φεύγωσι, θαῤῥοῦσιν, εἰδότες ὅτι ἐξετάσετε αὐτῶν τὸν βίον, καὶ οὔτε τοῖς ὀνόμασι προσθή σεσθε, ἂν ᾖ κενὰ, οὔτε ταῖς ἀπὸ τῶν κατηγοριῶν αἰτίαις, εἰ ψευδεῖς εἶεν· ἐν ἴσῃ τάξει τὴν καταδικάζουσαν τῆς ἀπολυούσης δέχονται ψῆφον. τὸ τοίνυν πρὸς ἅπαντας ἴσον καὶ ἡμεῖς ἀξιοῦμεν, μὴ ὅτι Χριϛιανοὶ λεγόμεθα, μισεῖσθαι καὶ κολάζεσθαι (τί γὰρ ἡμῖν τὸ ὄνομα πρὸς κακίαν τελεῖ;) ἀλλὰ κρίνεσθαι ἐφ' ὅτων ἂν καὶ εὐθύνῃ τὶς, καὶ ἢ ἀφίεσθαι ἀπολυομένους τὰς κατηγορίας, ἢ κολάζεσθαι τοὺς ἁλισκομένους πονηρούς· μὴ ἐπὶ τῷ ὀνόματι (οὐδεὶς γὰρ Χριϛιανὸς πονηρὸς, εἰ μὴ ὑποκρίνεται τὸν λόγον) ἐπὶ δὲ τῷ ἀδικήματι. οὕτω καὶ τοὺς ἀπὸ φιλοσοφίας, κρινομένους ὁρῶμεν. οὐδεὶς αὐτῶν πρὸ κρίσεως διὰ τὴν ἐπιϛήμην ἢ τέχνην, ἀγαθὸς ἢ πονηρὸς τῷ δικαϛῇ εἶναι δοκεῖ· ἀλλὰ δόξας μὲν εἶναι ἄδικος, κολάζεται, οὐδὲν τῇ φιλοσοφίᾳ προστριψάμενος ἔγκλημα (ἐκεῖνος γὰρ πονηρὸς, ὁ μὴ, ὡς νόμος, φιλο-

λοσοφῶν· ἡ δὲ ἐπιςήμη, ἀναίτιος) ἀπολυσάμενος δὲ τὰς διαβολὰς, ἀφίεται. ἔςω δὴ τὸ ἴσον καὶ ἐφ' ἡμῶν. ὁ τῶν κρινομένων ἐξεταζέσθω βίος, τὸ δὲ ὄνομα παντὸς ἀφείσθω ἐγκλήματος· ἀναγκαῖον δέ μοι ἀρχομένῳ ἀπολογεῖσθαι ὑπὲρ τοῦ λόγου, δεηθῆναι ὑμῶν, μέγιςοι αὐτοκράτορες, ἴσους ἡμῖν ἀκροατὰς γενέσθαι, καὶ μὴ τῇ κοινῇ καὶ ἀλόγῳ φήμῃ συναπενεχθέντας προκατασχεθῆναι, ἐπιτρέψαι δὲ ὑμῶν τὸ φιλομαθὲς καὶ φιλάληθες καὶ τῷ καθ' ἡμᾶς λόγῳ. ὑμεῖς τε γὰρ οὐ πρὸς ἀγνοίας ἐξαμαρτήσετε, καὶ ἡμεῖς τὰ ἀπο τῆς ἀκρίτου τῶν πολλῶν φήμης ἀποδυσάμενοι, παυσόμεθα πολεμούμενοι.

(§. 3.) Τρία ἐπιφημίζουσιν ἡμῖν ἐγκλήματα, ἀθεότητα, Θυέςεια δεῖπνα, Οἰδιποδείους μίξεις. ἀλλὰ εἰ μὲν ἀληθῆ ταῦτα, μηδενὸς γένους φείσησθε, ἐπεξέλθετε δὲ τοῖς ἀδικήμασι· σὺν γυναιξὶ καὶ παισὶ προῤῥίζους ἡμᾶς ἀποκτείνατε. εἴ γέ τις ἀνθρώπων ζῇ δίκην θηρίων. καὶ τοί γε καὶ τὰ θηρία τῶν ὁμογενῶν οὐχ ἅπτεται, καὶ νόμῳ φύσεως, καὶ πρὸς ἕνα καιρὸν τὸν τῆς τεκνοποιΐας, οὐκ ἐπ' ἀδείας μίγνυνται. γνωρίζει δὲ καὶ ὑφ' ὧν ὠφελεῖται. εἴ τις οὖν καὶ τῶν θηρίων ἀνημερώτερος, τίνα οὖν πρὸς τὰ τηλικαῦτα ὑποσχὼν δίκην, καὶ πρὸς ἀξίαν κεκολάσθαι νομισθήσεται; εἰ δὲ λογοποιΐαι ταῦτα καὶ διαβολαὶ κεναὶ, φυσικῷ λόγῳ πρὸς τὴν ἀρετὴν τῆς κακίας ἀντικειμένης, καὶ πολεμοῦντων ἀλλήλοις τῶν ἐναντίων θείῳ νόμῳ, καὶ τοῦ μηδὲν τούτων ἀδικεῖν, ὑμεῖς μάρτυρες, κελεύοντες μὴ ὁμονοεῖν. πρὸς ὑμῶν λοιπὸν ἐξέτασιν ποιήσασθαι βίου, δογμάτων, τῆς πρὸς ὑμᾶς καὶ τὸν ὑμέτερον οἶκον καὶ τὴν βασιλείαν σπουδῆς

καὶ

καὶ ὑπακοῆς, καὶ οὕτω ποτὲ συγχωρῆσαι ἡμῖν οὐδὲν πλέον τοῖς διώκουσιν ἡμᾶς. νικήσομεν γὰρ αὐτοὺς, ὑπὲρ ἀληθείας ἀόκνως καὶ τὰς ψυχὰς ἐπιδιδόντες.

---

2. *Christiani non Athei habendi.*

(§. 4.) Οτι μὲν οὖν οὐκ ἐσμὲν ἄθεοι (πρὸς ἓν ἕκαστον ἀπαντήσω τῶν ἐγκλημάτων· μὴ καὶ γελοῖον ᾖ τοὺς λέγοντας μὴ ἐλέγχειν.) Διαγόρᾳ μὲν γὰρ εἰκότως ἀθεότητα ἐπεκάλουν Αθήναῖοι, μὴ μόνον τὸν Ορφικὸν εἰς μέσον κατατιθέντι λόγον, καὶ τὰ ἐν Ελευσῖνι καὶ τὰ τῶν Καβείρων δημεύοντι μυστήρια, καὶ τὸ τοῦ Ηρακλέους, ἵνα τὰς γογγύλας ἕψοι, κατακόπτοντι ξόανον· ἄντικρυς δὲ ἀποφαινομένῳ μηδὲ ὅλως εἶναι Θεόν· ἡμῖν δὲ, διαιροῦσιν ἀπὸ τῆς ὕλης τὸν Θεὸν, καὶ δεικνύουσιν ἕτερον μέν τι εἶναι τὴν ὕλην, ἄλλο δὲ τὸν Θεὸν, καὶ τὸ διὰ μέσου πολὺ (τὸ μὲν γὰρ θεῖον, ἀγέννητον εἶναι καὶ ἀΐδιον, νῷ μόνῳ καὶ λόγῳ θεωρούμενον· τὴν δὲ ὕλην, γεννητὴν καὶ φθαρτὴν) μή τι οὐκ ἀλόγως τὸ τῆς ἀθεότητος ἐπικαλοῦσιν ὄνομα; εἰ μὲν γὰρ ἐφρονοῦμεν ὅμοια τῷ Διαγόρᾳ, τοσαῦτα ἔχοντες πρὸς θεοσέβειαν ἐνέχυρα, τὸ εὔτακτον, τὸ διαπαντὸς σύμφωνον, τὸ μέγεθος, τὴν χροιὰν, τὸ σχῆμα, τὴν διάθεσιν τοῦ κόσμου· εἰκότως ἂν ἡμῖν καὶ ἡ τοῦ μὴ θεοσεβεῖν δόξα καὶ ἡ τοῦ ἐλαύνεσθαι αἰτία προσετρίβετο· ἐπεὶ δὲ ὁ λόγος ἡμῶν ἕνα Θεὸν ἄγει τὸν τοῦδε τοῦ παντὸς ποιητὴν, αὐτὸν μὲν οὐ γενόμενον (ὅτι τὸ ὂν οὐ γίνεται, ἀλλὰ τὸ μὴ ὂν) πάντα δὲ διὰ τοῦ

πάρ' αὐτοῦ λόγου πεποιηκότα· ἑκάτερα ἀλόγως πάσχομεν, καὶ κακῶς ἀγορευόμεθα καὶ διωκόμεθα.

(§. 5.) Καὶ ποιηταὶ μὲν καὶ Φιλόσοφοι οὐκ ἔδοξαν ἄθεοι, ἐπιστήσαντες περὶ Θεοῦ· ὁ μὲν Εὐριπίδης ἐπὶ μὲν τῶν κατὰ κοινὴν πρόληψιν ἀνεπιστημόνως ὀνομαζομένων Θεῶν διαπορῶν·

Ὤφειλε δ' εἴπερ ἔστ' ἐν οὐρανῷ
Ζεὺς, μὴ τὸν αὐτὸν δυστυχῆ καθιστάναι.

ἐπὶ δὲ τοῦ κατ' ἐπιστήμην νοητοῦ, (ὡς ἐκεῖνος δογματίζων,)

Ὁρᾷς τὸν ὑψοῦ, τόνδ' ἄπειρον αἰθέρα,
Καὶ γῆν πέριξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις;
Τοῦτον νόμιζε Ζῆνα, τονδ' ἡγοῦ Θεόν.

τῶν μὲν γὰρ οὔτε τὰς οὐσίας, αἷς ἐπικατηγορεῖσθαι τὸ ὄνομα συμβέβηκεν, ὑποκειμένας ἑώρα (Ζῆνα γὰρ ὅςτις ἐστὶ Ζεὺς, οὐκ οἶδα, πλὴν λόγῳ) οὔτε τὰ ὀνόματα καθ' ὑποκειμένων κατηγορεῖσθαι πραγμάτων. ὧν γὰρ αἱ οὐσίαι οὐχ ὑπόκεινται, τί πλέον αὐτοῖς τῶν ὀνομάτων; τὸν δὲ ἀπὸ τῶν ἔργων ὄψει τῶν ἀδήλων νοῶν τὰ Φαινόμενα, ἀέρος, αἰθέρος, γῆς. οὗ οὖν τὰ ποιήματα, καὶ ὑφ' οὗ τῷ πνεύματι ἡνιοχεῖται, τοῦτον κατελαμβάνετο εἶναι θεόν. (συνᾴδοντος τούτῳ καὶ Σοφοκλέους.

Εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν θεὸς,
Ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακράν.

πρὸς τὴν τοῦ θεοῦ Φύσιν τοῦ κάλλους τοῦ ἐκείνου πληρομένην) ἑκάτερα, καὶ ποῦ δεῖ εἶναι τὸν θεὸν, καὶ ὅτι ἕνα δεῖ εἶναι, διδάσκων.

(§. 6.) Καὶ Φιλόλαος δὲ, ὥσπερ ἐν Φρουρᾷ, πάντα ὑπὸ τοῦ Θεοῦ περιειλῆΦθαι λέγων, καὶ τὸ ἕνα εἶ-

εἶναι, καὶ τὸ ἀνωτέρω τῆς ὕλης, δεικνύει· Λῦσις δὲ καὶ ὄψει, ὁ μὲν ἀριθμὸν ἄῤῥητον ὁρίζεται τὸν Θεὸν, ὁ δὲ τοῦ μεγίστου τῶν ἀριθμῶν τὴν παρὰ τῶν ἐγγυτάτων ὑπεροχήν. εἰ δὲ μέγιστος μὲν ἀριθμὸς ὁ δέκα, κατὰ τοὺς Πυθαγορικοὺς, ὁ τέτρακτύς τε ὢν, καὶ πάντας τοὺς ἀριθμητικοὺς καὶ τοὺς ἁρμονίους περιέχων λόγους, τούτῳ δὲ ἐγγὺς παράκειται ὁ ἐννέα· μονάσ ἐστιν ὁ θεὸς, τοῦτ᾽ ἔστιν εἷς. ἑνὶ γὰρ ὑπερέχει ὁ μέγιστος τὸν ἐγγυτάτω ἐλάχιστον αὐτῷ. Πλάτων δὲ καὶ Αριστοτέλης· (καὶ οὐχ ὡς ἐπιδεικνύων τὰ δόγματα τῶν Φιλοσόφων ἐτ᾽ ἀκριβὲς, οὕτως ἃ εἰρήκασι περὶ Θεοῦ, διέξειμι. οἶδα γὰρ ὅτι ὅσον συνέσει καὶ ἰσχύϊ τῆς βασιλείας πάντων ὑπερέχετε, τοσοῦτον καὶ τῷ πᾶσαν παιδείαν ἀκριβοῦν, πάντων κρατεῖτε· οὕτω καθ᾽ ἕκαστον παιδείας μέρος κατορθοῦντες, ὡς οὐδὲ οἱ ἓν αὐτῆς μόριον ἀποτεμνόμενοι· ἀλλ᾽ ἐπειδὴ ἀδύνατον δεικνύειν ἄνευ παραθέσεως ὀνομάτων ὅτι μὴ μόνοι εἰς μονάδα τὸν Θεὸν κατακλείομεν, ἐπὶ τὰς δόξας ἐτραπόμην) φησὶν οὖν ὁ Πλάτων· τὸν μὲν ποιητὴν καὶ πατέρα τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον, καὶ εὑρόντα, εἰς πάντας ἀδύνατον λέγειν. ἕνα τὸν ἀγέννητον καὶ ἀΐδιον νοῶν Θεόν. εἰ δ᾽ οἶδεν καὶ ἄλλους, οἷον ἥλιον καὶ σελήνην καὶ ἀστέρας, ἀλλ᾽ ὡς γεννητοὺς οἶδεν αὐτούς. θεοὶ θεῶν ὧν ἐγὼ δημιουργὸς, πατήρ τε ἔργων, ἀδύνατα ἐμοῦ μὴ θέλοντος. τὸ μὲν οὖν δεθὲν πᾶν, λυτόν. εἰ τοίνυν οὐκ ἔστιν ἄθεος Πλάτων, ἕνα τὸν δημιουργὸν τῶν ὅλων νοῶν ἀγέννητον Θεόν· οὐδὲ ἡμεῖς ἄθεοι, ἀφ᾽ οὗ λόγῳ δεδημιούργηται καὶ τῷ παρ᾽ αὐτοῦ πνεύματι συνέχεται τὰ πάντα, τοῦτον εἰδότες καὶ κρατοῦντες Θεόν. ὁ δὲ Αριστοτέλης καὶ οἱ ἀπ᾽ αὐτοῦ,

ἔ-

ἕνα ἄγοντες οἱονεὶ ζῶον σύνθετον, ἐκ ψυχῆς καὶ σώματος συνεςηκότα λέγουσι τὸν Θεὸν, σῶμα μὲν αὐτοῦ τὸ αἰθέριον νομίζοντες, τούς τε πλανωμένους ἀστέρας καὶ τὴν σφαῖραν τῶν ἀπλανῶν, κινούμενα κυκλοφορητικῶς, ψυχὴν δὲ, τὸν ἐπὶ τῇ κινήσει τοῦ σώματος λόγον· αὐτὸν μὲν οὐ κινούμενον, αἴτιον δὲ τῆς τούτου κινήσεως γινόμενον. οἱ δὲ ἀπὸ τῆς στοᾶς, κἂν ταῖς προσηγορίαις κατὰ τὰς παραλλάξεις τῆς ὕλης, δι᾽ ἧς φασι τὸ πνεῦμα χωρεῖν τοῦ Θεοῦ, πληθύνωσι τὸ θεῖον τοῖς ὀνόμασι, τῷ γοῦν ἔργῳ ἕνα νομίζουσι τὸν Θεόν. εἰ γὰρ ὁ μὲν Θεὸς πῦρ τεχνικὸν ὁδῷ βαδίζον ἐπὶ γενέσεις κόσμου, ἐμπριειληφὸς ἅπαντας τοὺς σπερματικοὺς λόγους, καθ᾽ οὓς ἕκαστα καθ᾽ εἱμαρμένην γίγνεται, τὸ δὲ πνεῦμα αὐτοῦ δίηκει δι᾽ ὅλου τοῦ κόσμου· ὁ Θεὸς εἷς κατ᾽ αὐτοὺς, Ζεὺς μὲν, κατὰ τὸ ζέον τῆς ὕλης, ὀνομαζόμενος· Ηρα δὲ, κατὰ τὸν ἀέρα· καὶ τὰ λοιπὰ καθ᾽ ἕκαστον τῆς ὕλης μέρος δι᾽ ἧς κεχώρηκε, καλούμενος.

(§. 7.) Οταν οὖν τὸ μὲν εἶναι ἓν τὸ θεῖον, ὡς ἐπὶ τὸ πλεῖστον, κἂν μὴ θέλωσι, τοῖς πᾶσι συμφωνῆται. ἐπὶ τὰς ἀρχὰς τῶν ὅλων παραγινομένοις· ἡμεῖς δὲ κρατύνωμεν τον διακοσμήσαντα τὸ πᾶν τοῦτο, τοῦτον εἶναι τὸν Θεόν· τίς ἡ αἰτία, τοῖς μὲν, ἐπ᾽ ἀδείας ἐξεῖναι καὶ λέγειν καὶ γράφειν περὶ τοῦ θειοῦ ἃ θέλουσιν· ἐφ᾽ ἡμῖν δὲ κεῖσθαι νόμον, οἳ ἔχομεν ὅ, τι καὶ νοοῦμεν καὶ ὀρθῶς πεπιστεύκαμεν, ἕνα Θεὸν εἶναι, ἀληθείας σημείοις καὶ λόγοις παραστῆσαι; ποιηταὶ μὲν γὰρ καὶ φιλόσοφοι, ὡς καὶ τοῖς ἄλλοις, ἐπέβαλον στοχαστικῶς, κινηθέντες μὲν, κατὰ συμπάθειαν τῆς παρὰ τοῦ Θεοῦ πνοῆς, ὑπὸ τῆς αὐτὸς αὐτοῦ ψυχῆς ἕ-

ἕκαστος ζητῆσαι, εἰ δυνατὸς εὑρεῖν καὶ νοῆσαι τὴν ἀλήθειαν· τοσοῦτον δὲ δυνηθέντες ὅσον περινοῆσαι οὐχ εὕρηνται ὂν οὐ παρὰ Θεοῦ περί Θεοῦ ἀξιώσαντες μαθεῖν, ἀλλὰ παρ' αὑτοῦ ἕκαστος. διὸ καὶ ἄλλος ἄλλως ἐδογμάτισεν αὐτῶν καὶ περὶ Θεοῦ καὶ περὶ ὕλης καὶ περὶ εἰδῶν καὶ περὶ κόσμου. ἡμεῖς δὲ, ὧν νοοῦμεν καὶ πεπιστεύκαμεν, ἔχομεν προφήτας μαρτυρας, οἳ πνεύματι ἐνθέω ἐκπεφωνήκασι καὶ περὶ τοῦ Θεοῦ καὶ περὶ τῶν τοῦ Θεοῦ. εἴποιτε δ' ἂν καὶ ὑμεῖς, σύνεσει καὶ τῇ περὶ τὸ ὄντως θεῖον εὐσεβείᾳ τοὺς ἄλλους προὔχοντες, ὡς ἔστιν ἄλογον, παραλιπόντας πιστεύειν τῷ παρὰ τοῦ Θεοῦ πνεύματι, ὡς ὄργανα κεκινηκότι τὰ τῶν προφητῶν στόματα, προσέχειν δόξαις ἀνθρωπίναις.

---

3. *Cetera crimina, Christianis imputata.*

(§. 31.) Ετι δὲ, καὶ τροφὰς καὶ μίξεις λογοποιοῦσιν ἀθέους καθ' ἡμῶν, ἵνα τε μισεῖν νομίζοιεν μετὰ λόγου, καὶ οἰόμενοι τῷ δεδίττεσθαι, ἢ τῆς ἐνστάσεως ἀπάξειν ἡμᾶς τοῦ βίου, ἢ πικροὺς καὶ ἀπαραιτήτους, τῇ τῶν αἰτίων ὑπερβολῇ, τοὺς ἄρχοντας παρασκευάσειν· πρὸς εἰδότας παίζοντες, ὅτι ἄνωθέν πως ἔθος, καὶ οὐχ ἐφ' ἡμῶν μόνον, κατά τινα θεῖον νόμον καὶ λόγον παρηκολούθηκε, προσπολεμεῖν τὴν κακίαν τῇ ἀρετῇ. οὕτω καὶ Πυθαγόρας μὲν ἅμα τριακοσίοις ἑτέροις κατεφλέχθη πυρὶ, Ηράκλειτος δὲ καὶ Δημόκριτος, ὁ μὲν τῆς Εφεσίων πόλεως ἠλαύνετο, ὁ δὲ τῆς Αβδηριτῶν, ἐπικατηγορούμενος μεμηνέναι· καὶ Σωκράτους Αθηναῖοι θά-

θάνατον κατέγνωσαν. ἀλλ' ὡς ἐκεῖνοι οὐδὲν χείρους εἰς ἀρετῆς λόγον, διὰ τὴν τῶν πολλῶν δόξαν· οὐδ' ἡμῖν οὐδὲν ἐπισκοτεῖ πρὸς ὁσιότητα βίου ἡ παρά τινων ἄκριτος βλασφημία. εὐδοξοῦμεν γὰρ παρὰ τῷ θεῷ. πλὴν ἀλλὰ καὶ πρὸς ταῦτα ἀπαντήσω τὰ ἐγκλήματα. ὑμεῖς μὲν οὖν καί δι' ὧν εἴρηκα, εὖ οἶδα ἀπολελογῆσθαι ἐμαυτόν. συνέσει γὰρ πάντας ὑπερφρονοῦντες, οἷς ὁ βίος ὡς πρὸς στάθμην τὸν θεὸν κανονίζεται, ὅπως ἀνυπαίτιος καὶ ἀνεπίληπτος ἑκάστου ἡμῶν ἄνθρωπος αὐτῷ γένοιτο, ἴστε τούτους μηδ' εἰς ἔννοιάν ποτε τοῦ βραχυτάτου ἐλευσομένοις ἁμαρτήματος. εἰ μὲν γὰρ ἕνα τὸν ἐνταῦθα βίον βιώσεσθαι πεπείσμεθα, κἂν ὑποπτεύειν ἐνῆν, δουλεύοντας σαρκὶ καὶ αἵματι, ἢ κέρδους ἢ ἐπιθυμίας ἐλάττους γενομένοις ἁμαρτεῖν· ἐπεὶ δὲ ἐφεστηκέναι μὲν οἷς ἐννοοῦμεν, οἷς λαλοῦμεν, καὶ νύκτωρ καὶ μεθ' ἡμέραν τὸν θεὸν οἴδαμεν, πάντα δὲ φῶς αὐτὸν ὄντα, καὶ τὰ ἐν τῇ καρδίᾳ ἡμῶν ὁρᾷν, πεπείσμεθα, τοῦ ἐνταῦθα ἀπαλλαγέντες βίου, βίον ἕτερον βιώσεσθαι ἀμείνονα ἢ κατὰ τὸν ἐνθάδε, καὶ ἐπουράνιον, οὐκ ἐπίγειον. (ὡς ἂν μετὰ θεοῦ καὶ σὺν θεῷ ἀκλινεῖς καὶ ἀπαθεῖς τὴν ψυχὴν, οὐχ ὡς σάρκες, κἂν ἔχωμεν, ἀλλ' ὡς οὐράνιον πνεῦμα, μενοῦμεν) ἢ συγκαταπίπτοντες τοῖς λοιποῖς χείρονα, καὶ διὰ πυρός· (οὐ γὰρ καὶ ἡμᾶς ὡς πρόβατα ἢ ὑποζύγια, πάρεργον, καὶ ἵνα ἀπολοίμεθα καὶ ἀφανισθείημεν, ἔπλασεν ὁ θεὸς) ἐπὶ τούτοις οὐκ εἰκὸς ἡμᾶς ἐθελοκακεῖν, οὐδ' αὐτοὺς τῷ μεγάλῳ παραδιδόναι κολασθησομένους δικαστῇ.

(§. 32.) Τοὺς μὲν οὖν θαυμαστὸν οὐδὲν λογοποιεῖν περὶ ἡμῶν ἃ περὶ τῶν σφετέρων λέγουσι θεῶν, καὶ τὰ πάθη αὐ-

αὐτῶν δεικνύουσι μυστήρια. χρῆν δ' αὐτοὺς, εἰ δεινὸν τὸ ἐπ' ἀδείας καὶ ἀδιαφόρως μίγνυσθαι, κρίνειν ἔμελλον, ἢ τὸν Δία μεμισηκέναι, ἐκ μητρὸς μὲν Ῥέας, θυγατρὸς δὲ Κόρης πεπαιδοποιημένον, γυναικὶ δ' ἰδίᾳ ἀδελφῇ χρώμενον· ἢ τὸν τούτων ποιητὴν Ὀρφέα, ὅτι καὶ ἀνόσιον ὑπὲρ τον Θυέστην καὶ μιαρὸν ἐποίησε τὸν Δία. καὶ γὰρ οὗτος τῇ θυγατρὶ κατὰ χρησμὸν ἐμίγη, βασιλεὺς ἐθέλων καὶ Θυέστης ἐκδικηθῆναι. ἡμεῖς δὲ τοσοῦτον ἀδιάφοροι εἶναι ἀπέχομεν, ὡς μηδὲ ἰδεῖν ἡμῖν πρὸς ἐπιθυμίαν ἐξεῖναι. ὁ γὰρ βλέπων, φησὶ, γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτῆς, ἤδη μεμοίχευκεν ἐν τῇ καρδίᾳ αὐτοῦ. οἷς οὖν μηδὲν πλέον ἔξεστιν ὁρᾶν, ἢ ἐφ' ἃ ἔπλασεν τοὺς ὀφθαλμοὺς ὁ θεὸς, ἡμιν φῶς αὐτοὺς εἶναι· καὶ οἷς τὸ ἰδεῖν ἡδέως, μοιχεία, ἐφ' ἕτερα τῶν ὀφθαλμῶν γεγονότων, μέχρις ἐννοίας κριθησομένοις. πῶς ἂν οὗτοι ἀπιστηθεῖεν σωφρονεῖν; οὐ γὰρ πρὸς ἀνθρωπικοὺς νόμους ὁ λόγος ἡμῖν, οὓς ἄν τις γενόμενος πονηρὸς καὶ λάθοι· (ἐν ἀρχῇ δὲ ὑμῖν, δεσπότης, θεοδίδακτον εἶναι τὸν καθ' ἡμᾶς λόγον ἐπιστούμην) ἀλλ' ἔστιν ἡμῖν νόμος ὃς δικαιοσύνης μέτρον ἐποίησεν αὐτοὺς καὶ τοὺς πέλας ἔχειν· διὰ τοῦτο καὶ καθ' ἡλικίαν, τοὺς μὲν υἱοὺς καὶ θυγατέρας νοοῦμεν, τοὺς δὲ ἀδελφοὺς ἔχομεν καὶ ἀδελφάς· καὶ τοῖς προβεβηκόσι τὴν τῶν πατέρων καὶ μητέρων τιμὴν ἀπονέμομεν. οὓς οὖν ἀδελφοὺς καὶ ἀδελφὰς καὶ τὰ λοιπὰ τοῦ γένους νοοῦμεν ὀνόματα, περὶ πολλοῦ ἡμῖν ἀνύβριστα καὶ ἀδιάφθορα αὐτῶν τὰ σώματα μένειν· πάλιν ἡμῖν λέγοντος τοῦ λόγου· ἐάν τις διὰ τοῦτο ἐκ δευτέρου καταφιλήσῃ ὅτι ἤρεσεν αὐτῷ· καὶ ἐπιφέροντος· οὕτως οὖν ἀκριβώσασθαι τὸ φίλημα, μᾶλλον δὲ τὸ προσκύνημα δεῖ, ὡς εἰ-

εἴπου μικρὸν τῇ διανοίᾳ παραθολωθείη, ἔξω ἡμᾶς τῆς αἰωνίου τιθέντος ζωῆς.

(§. 33.) Ελπίδα οὖν ζωῆς αἰωνίου ἔχοντες, τῶν ἐν τούτῳ τῷ βίῳ καταφρονοῦμεν, μέχρι καὶ τῶν τῆς ψυχῆς ἡδέων. γυναῖκα μὲν ἕκαστος ἡμῶν, ἣν ἠγάγετο κατὰ τοὺς ὑφ' ἡμῶν τεθειμένους νόμους, νομίζων, καὶ ταύτην μέχρι τοῦ παιδοποιήσασθαι. ὡς γὰρ ὁ γεωργὸς καταβάλλων εἰς γῆν τὰ σπέρματα, ἄμητον περιμένει, οὐκ ἐπισπείρων· καὶ ἡμῖν μέτρον ἐπιθυμίας, ἡ παιδοποιΐα. εὕροις δ' ἂν πολλοὺς τῶν παρ' ἡμῖν, καὶ ἄνδρας καὶ γυναῖκας, καταγηράσκοντας ἀγάμους, ἐλπίδι τοῦ μᾶλλον συνέσεσθαι τῷ θεῷ. εἰ δὲ τὸ ἐν παρθενίᾳ καὶ ἐν εὐνουχίᾳ μεῖναι, μᾶλλον παρίστησι τῷ θεῷ· τὸ δὲ μέχρις ἐννοίας καὶ ἐπιθυμίας ἐλθεῖν, ἀπάγει· ὧν τὰς ἐννοίας φεύγομεν, πολὺ πρότερον τὰ ἔργα παραιτούμεθα. οὐ γὰρ μελέτῃ λόγων, ἀλλ' ἐπιδείξει καὶ διδασκαλίᾳ ἔργων τὰ ἡμέτερα· ἢ οἷος τὶς ἐτέχθη, μένειν, ἢ ἐφ' ἑνὶ γάμῳ. ὁ γὰρ δεύτερος, εὐπρεπής ἐστι μοιχεία. ὃς γὰρ ἂν ἀπολύσῃ, φησὶ, τὴν γυναῖκα αὐτοῦ, καὶ γαμήσῃ ἄλλην, μοιχᾶται· οὔτε ἀπολύειν ἐπιτρέπων ἧς ἔπαυσέ τις τὴν παρθενίαν, οὔτε ἐπιγαμεῖν. ὁ γὰρ ἀποστερῶν ἑαυτὸν τῆς προτέρας γυναικὸς, καὶ εἰ τέθνηκε, μοιχός ἐστι παρακεκαλυμμένος, παραβαίνων μὲν τὴν χεῖρα τοῦ θεοῦ, ὅτι ἐν ἀρχῇ ὁ θεὸς ἕνα ἄνδρα ἔπλασε καὶ μίαν γυναῖκα· λύων δὲ τὴν σάρκα πρὸς σάρκα κατὰ τὴν ἕνωσιν πρὸς μίξιν εἰς τοῦ γένους κοινωνίαν.

(§. 34.) Αλλ' οἱ τοιοῦτοι (ὢ τί ἂν εἴποιμι τὰ ἀπόῤῥητα;) ἀκούομεν τὰ τῆς παροιμίας, ἡ πόρνη τὴν σώφρονα. οἱ γὰρ ἀγορὰν στήσαντες πορνείας, καὶ κατα-

ταγωγὰς ἀθέσμους πεποιημένοι τοῖς νέοις πάσης αἰσχρᾶς ἡδονῆς, καὶ μηδὲ τῶν ἀρσένων Φειδόμενοι· ἄρσενες ἐν ἄρσεσι τὰ δεινὰ κατεργαζόμενοι. ὅσων σεμνότερα καὶ εὐειδέστερα σώματα, παντοίως αὐτὰ ὑβρίζοντες· ἀτιμοῦντες καὶ τὸ ποιητὸν τοῦ θεοῦ καλόν. (οὐ γὰρ αὐτοποίητον ἐπὶ γῆς τὸ κάλλος, ἀλλὰ ὑπὸ χειρὸς καὶ γνώμης πεμπόμενον τοῦ θεοῦ) οὗτοι δὲ ἃ συνίσασιν αὐτοῖς καὶ τοὺς σφετέρους λέγουσι θεοὺς, ἐπ' αὐτῶν, ὡς σεμνὰ, καὶ τῶν θεῶν αὐτὰ αὐχοῦντες· ταῦτα ἡμᾶς λοιδοροῦνται· κακίζοντες οἱ μοιχοὶ καὶ παιδερασταὶ τοὺς εὐνούχους, καὶ μονογάμους· οἱ δίκην ἰχθύων ζῶντες, (καὶ γὰρ οὗτοι καταπίνουσι τὸν ἐμπεσόντα, ἐλαύνοντες ὁ ἰσχυρότερος τὸν ἀσθενέστερον. καὶ τοῦτό ἐστι σαρκῶν ἅπτεσθαι ἀνθρωπικῶν, τὸ κειμένων νόμων, οὓς ὑμεῖς καὶ οἱ ὑμέτεροι πρόγονοι πρὸς πᾶσαν δικαιοσύνην ἐξετάσαντες ἐθήκατε, παρὰ τούτους αὐτοὺς βιάζεσθαι,) ὡς μηδὲ τοὺς ὑφ' ὑμῶν καταπεμπομένους ἡγεμόνας τῶν ἐθνῶν ἐξαρκεῖν ταῖς δίκαις, οἷς οὐδὲ παιομένοις μὴ παρέχειν ἑαυτοὺς, οὐδὲ κακῶς ἀκούουσι μὴ εὐλογεῖν ἔξεστιν. οὐ γὰρ ἀπαρκεῖ δίκαιον εἶναι (ἔστι δὲ δικαιοσύνη, ἴσα ἴσοις ἀμείβειν) ἀλλ' ἀγαθοῖς καὶ ἀνεξικάκοις εἶναι πρόκειται.

(§. 35.) Τίς οὖν εὖ Φρονῶν εἴποι, τοιούτους ὄντας ἡμᾶς, ἀνδροφόνους εἶναι; οὐ γάρ ἐστι πάσασθαι κρεῶν ἀνθρωπικῶν, μὴ πρότερον ἀποκτείνασί τινα. τὸ πρότερον οὖν ψευδόμενοι· τὸ δεύτερον κἂν μέν τις αὐτοὺς ἔρηται, εἰ ἑωράκασιν ἃ λέγουσιν, οὐδεὶς οὕτως ἀπηρυθριασμένος, ὡς εἰπεῖν ἰδεῖν. καίτοι καὶ δοῦλοί εἰσιν ἡμῖν, τοῖς μὲν καὶ πλείους, τοῖς δὲ ἐλάττους· οὓς οὐκ ἔστι λαθεῖν· ἀλλὰ καὶ τούτων οὐδεὶς

δεὶς καθ' ἡμῶν τὰ τηλικαῦτα οὐδὲ κατεψεύσατο. οὓς γὰρ ἴσασιν οὐδ' ἰδεῖν κἂν δικαίως Φονευόμενον ὑπομένοντας, τούτων τίς ἂν κατείποι ἢ ἀνδροφονίαν, ἢ ἀνθρωποβορίαν; τίς οὐχὶ τῶν περὶ σπουδῆς τὰς δι' ὅπλων ἀγωνίας καὶ διὰ θηρίων, καὶ μάλιστα τὰς ὑφ' ὑμῶν ἀγομένας, ἔχει; ἀλλ' ἡμεῖς πλησίον εἶναι τὸ ἰδεῖν τὸν Φονευόμενον τοῦ ἀποκτεῖναι νομίζοντες, ἀπηγορεύσαμεν τὰς τοιαύτας θέας. πῶς οὖν μηδὲ ὁρῶντες, ἵνα μὴ ἑαυτοῖς ἄγος καὶ μίασμα προστριψαίμεθα, Φονεύειν δυνάμεθα; καὶ οἳ τὰς τοῖς ἀμβλωθριδίοις χρωμένας, ἀνδροΦονεῖν τε καὶ λόγον ὑΦέξειν τῆς ἐξαμβλώσεως τῷ θεῷ Φαμὲν, κατὰ ποῖον ἀνδροΦονοῦμεν λόγον; οὐ γὰρ τοῦ αὐτοῦ, νομίζειν μὲν καὶ τὸ κατὰ γαστρὸς, ζῶον εἶναι, καὶ διὰ τοῦτο αὐτοῦ μέλειν τῷ θεῷ, καὶ παρεληλυθότα εἰς τὸν βίον, Φονεύειν· καὶ μὴ ἐκτιθέναι μὲν τὸ γεννηθὲν, ὡς τῶν ἐκτιθέντων τεκνοκτονούντων, πάλιν δὲ τὸ τραΦὲν ἀναιρεῖν· ἀλλ' ἐσμὲν πάντα πανταχοῦ ὅμοιοι καὶ ἴσοι, δουλεύοντες τῷ λόγῳ, καὶ οὐκ ἄρχοντες αὐτοῦ.

---

4. *Peroratio.*

(§. 37.) Ὑμεῖς δὲ, ὦ πάντα ἐν πᾶσι Φύσει καὶ παιδείᾳ χρηστοὶ καὶ μέτριοι καὶ ΦιλάνθρωΠοι, καὶ τῆς βασιλείας ἄξιοι, διαλελυμένῳ μὲν τὰ ἐγκλήματα, ἐπιδεδειχότι δὲ ὅτι καὶ θεοσεβεῖς καὶ ἐπιεικεῖς καὶ ψυχὰς κεκολασμένοι, τὴν βασιλικὴν κεΦαλὴν ἐπινεύσατε. τίνες γὰρ καὶ δικαιότεροι ὧν δέονται τυχεῖν, ἢ οἵ-

οἵτινες περὶ μὲν τῆς ἀρχῆς τῆς ὑμετέρας εὐχόμεθα, ἵνα παῖς μὲν παρὰ πατρὸς κατὰ τὸ δικαιότατον διαδέχησθε τὴν βασιλείαν, αὔξησιν δὲ καὶ ἐπίδοσιν καὶ ἡ ἀρχὴ ὑμῶν, πάντων ὑποχειρίων γιγνομένων, λαμβάνῃ; τοῦτο δ' ἐστὶ καὶ πρὸς ἡμῶν, ὅπως ἤρεμον καὶ ἡσύχιον βίον διάγοιμεν, αὐτοὶ δὲ πάντα τὰ κεκελευσμένα προθύμως ὑπηρετοῖμεν.

III.

Ex Athenagorae

libro: de Resurrectione mortuorum.

ΑΘΗΝΑΓΟΡΟΥ

ΑΘΗΝΑΙΟΥ ΦΙΛΟΣΟΦΟΥ ΧΡΙΣΤΙΑΝΟΥ,

ΠΕΡΙ ΑΝΑΣΤΑΣΕΩΣ ΤΩΝ ΝΕΚΡΩΝ.

1. *Introitus.*

(§. 1.) ΠΑΝΤΙ δόγματι καὶ λόγῳ τῆς ἐν τοῖς οὖσιν ἀληθείας ἐχομένῳ παραφύεταί τι ψεῦδος· παραφύεται δὲ οὐκ ἐξ ὑποκειμένης τινὸς ἀρχῆς κατὰ φύσιν ὁρμώμε-

μενον ἢ τῆς κατ' αὐτὸ ὅπέρ ἐστιν ἕκαστον αἰτίας, ἀλλ' ὑπὸ τῶν τὴν ἔκθεσμον σποράν ἐπὶ διαφθορᾷ τῆς ἀληθείας τετιμηκότων σπουδαζόμενον. τοῦτο δέ ἐστιν εὑρεῖν, πρῶτον μὲν ἐκ τῶν πάλαι ταῖς περὶ τούτων φροντίσιν ἐσχολακότων, καὶ τῆς ἐκείνων πρός τε τοὺς ἑαυτῶν πρεσβυτέρους καὶ τοὺς ὁμοχρόνους γενομένης διαφορᾶς· οὐχ ἥκιστα δὲ ἐξ αὐτῆς τῆς τῶν ἐν μέσῳ στρεφομένων ταραχῆς. οὐδὲν γὰρ τῶν ἀληθῶν οἱ τοιοῦτοι κατέλιπον ἀσυκοφάντητον, οὐ τὴν οὐσίαν τοῦ θεοῦ, οὐ τὴν γνῶσιν, οὐ τὴν ἐνέργειαν, οὐ τὰ τούτοις ἐφεξῆς καθ' εἱρμὸν ἑπόμενα, καὶ τὸν τῆς εὐσεβείας ἡμῖν ὑπογράφοντα λόγον· ἀλλ' οἱ μὲν πάντη καὶ καθάπαξ ἀπογινώσκουσι τὴν περὶ τούτων ἀλήθειαν· οἱ δὲ πρὸς τὸ δοκοῦν αὐτοῖς διαστρέφουσιν· οἱ δὲ καὶ περὶ τῶν ἐμφανῶν ἀπορεῖν ἐπιτηδεύουσιν. ὅθεν οἶμαι δεῖν τοῖς περὶ ταῦτα πονουμένοις λόγων διττῶν, τῶν μὲν, ὑπὲρ τῆς ἀληθείας, τῶν δὲ, περὶ τῆς ἀληθείας· καὶ τῶν μὲν ὑπὲρ τῆς ἀληθείας, πρὸς τοὺς ἀπιστοῦντας, ἢ τοὺς ἀμφιβάλλοντας· τῶν δὲ περὶ τῆς ἀληθείας, πρὸς τοὺς εὐγνωμονοῦντας καὶ μετ' εὐνοίας δεχομένους τὴν ἀλήθειαν. ὧν ἕνεκεν χρὴ τοὺς περὶ τούτων ἐξετάζειν ἐθέλοντας, τὴν ἑκάστοτε προκειμένην χρείαν σκοπεῖν, καὶ ταύτῃ τοὺς λόγους μετρεῖν· τήν τε περὶ τούτων τάξιν μεθαρμόζειν πρὸς τὸ δέον, καὶ μὴ τῷ δοκεῖν τὴν αὐτὴν πάντοτε φυλάττειν ἀρχὴν, ἀμελεῖν τοῦ προσήκοντος καὶ τῆς ἐπιβαλλούσης ἑκάστῳ χώρας. ὡς μὲν γὰρ πρὸς ἀπόδειξιν καὶ τὴν φυσικὴν ἀκολουθίαν, πάντοτε πρωτοστατοῦσιν οἱ περὶ αὐτῆς λόγοι τῶν ὑπὲρ αὐτῆς· ὡς δὲ πρὸς τὸ χρειωδέστερον, ἀνεστραμμένως οἱ ὑπὲρ αὐτῆς, τῶν περὶ αὐτῆς. οὔτε γὰρ

γὰρ γεωργὸς δύναιτ' ἂν προσηκόντως καταβάλλειν τῇ γῇ τὰ σπέρματα, μὴ προεξελὼν τὰ τῆς ἀγρίας ὕλης, καὶ τοῖς καταβαλλομένοις ἡμέροις σπέρμασι λυμαινόμενα. οὔτε ἰατρὸς ἐνεῖναί τι τῶν ὑγιεινῶν Φαρμάκων τῷ δεομένῳ θεραπείας σώματι, μὴ τὴν ἐνοῦσαν κακίαν προκαθάρας, ἢ τὴν ἐπιῤῥέουσαν ἐπισχών. οὔτε μὴν ὁ τὴν ἀλήθειαν διδάσκειν, περὶ τῆς ἀληθείας λέγων, πεῖσαι δύναιτ' ἄν τινα, ψευδοδοξίας τινος ὑποικουρούσης τῇ τῶν ἀκουόντων διανοίᾳ, καὶ τοῖς λόγοις ἀντιστατούσης. διὸ πρὸς τὸ χρειωδέστερον ἀφορῶντες καὶ ἡμεῖς, προτάσσομεν ἔσθ' ὅτε τοὺς ὑπὲρ τῆς ἀληθείας λόγους τῶν περὶ τῆς ἀληθείας. κατὰ τὸν αὐτὸν δὲ τρόπον ποιῆσαι καὶ νῦν ἐπὶ τῶν τῆς ἀναστάσεως λόγων οὐκ ἀχρεῖον Φαίνεται, σκοποῦσι τὸ δέον. καὶ γὰρ ἐν τούτοις εὑρίσκομεν τοὺς μὲν ἀπιστοῦντας πάντη, τινὰς καὶ ἀμφιβάλλοντας, καὶ τῶν γε τὰς πρώτας ὑποθέσεις δεξαμένων τινὰς, ἐπίσης τοῖς ἀμφιβάλλουσιν, ἀποροῦντας· τὸ δὲ πάντων παραλογώτατον, ὅτι ταῦτα πάσχουσιν, οὐδ' ἡντιναοῦν ἔχοντες ἐκ τῶν πραγμάτων ἀπιστίας ἀφορμὴν, οὐδ' αἰτίαν εὑρίσκοντες εἰπεῖν εὔλογον, δι' ἣν ἀπιστοῦσιν ἢ διαποροῦσιν.

---

2. *Argumenta pro resurrectione mortuorum.*

(§. 11.) Εἰ δὲ διὰ τῶν κατὰ Φύσιν πρώτων καὶ τῶν τούτοις ἑπομένων δέδεικται τῶν ἐξητασμένων ἕκαστον, εὔδηλον ὅτι καὶ δυνατὸν καὶ βουλητὸν καὶ ἄξιον τοῦ δημιουργήσαντος ἔργον ἡ τῶν διαλυθέντων σωμάτων

των ἀνάστασις. διὰ γὰρ τούτων ἐδείχθη ψεῦδος τὸ τούτοις ἀντικείμενον, καὶ τὸ τῶν ἀπιστούντων παράλογον. τί γὰρ δεῖ λέγειν περὶ τῆς ἑκάστου τῶν πρὸς ἕκαστον ἀντιστροφῆς, καὶ τῆς πρὸς ἄλληλα συναφείας; εἴγε δεῖ καὶ συνάφειαν εἰπεῖν, ὡς ἑτερότητί τινι κεχωρισμένων. οὐχὶ δὲ καὶ τὸ δυνατὸν λέγειν βουλητὸν, καὶ τὸ τῷ θεῷ βουλητὸν, πάντως εἶναι δυνατὸν, καὶ κατὰ τὴν τοῦ βουληθέντος ἀξίαν. καὶ ὅτι μὲν ἕτερος ὁ περὶ τῆς ἀληθείας λόγος, ἕτερος δὲ ὁ ὑπὲρ τῆς ἀληθείας, εἴρηται διὰ τῶν προλαβόντων μετρίως, οἷς τε διενήνοχεν ἑκάτερος καὶ πότε καὶ πρὸς τίνας ἔχει τὸ χρήσιμον· κωλύει δὲ ἴσως οὐδὲν, τῆς τε κοινῆς ἀσφαλείας ἕνεκεν καὶ τῆς τῶν εἰρημένων πρὸς τὰ λειπόμενα συναφείας, ἀπ᾿ αὐτῶν τούτων καὶ τῶν τούτοις προσηκόντων πάλιν ποιήσασθαι τὴν ἀρχήν. προσῆκε δὲ τῷ μὲν τὸ πρωτεύειν κατὰ φύσιν, τῷ δὲ δορυφορεῖν τὸν πρῶτον, ὁδοποιεῖν τε, καὶ προανείργειν πᾶν ὁπόσον ἐμποδὼν καὶ πρόσαντες. ὁ μὲν γὰρ περὶ τῆς ἀληθείας λόγος, ἀναγκαῖος ὢν πᾶσιν ἀνθρώποις πρὸς ἀσφάλειαν καὶ σωτηρίαν, πρωτοστατεῖ καὶ τῇ φύσει καὶ τῇ τάξει καὶ τῇ χρείᾳ. τῇ φύσει μὲν, ὡς τὴν τῶν πραγμάτων γνῶσιν παρεχόμενος. τῇ τάξει δὲ, ὡς ἐν τούτοις καὶ ἅμα τούτοις ὑπάρχων, ὧν γίνεται μηνυτής· τῇ χρείᾳ δὲ, ὡς τῆς ἀσφαλείας καὶ τῆς σωτηρίας τοῖς γινώσκουσι γινόμενος πρόξενος. ὁ δ᾿ ὑπὲρ τῆς ἀληθείας, φύσει τε καὶ δυνάμει καταδεέστερος. ἔλαττον γὰρ τὸ ψεῦδος ἐλέγχειν τοῦ τὴν ἀλήθειαν κρατύνειν· καὶ τάξει δεύτερον· κατὰ γὰρ τῶν ψευδοδοξούντων ἔχει τὴν ἰσχύν· ψευδοδοξία δὲ ἐξ ἐπισπορᾶς ἐπεφύη καὶ παραφθορᾶς. ἀλλὰ δὴ καὶ

τού-

τούτων οὕτως ἐχόντων, προτάττεται πολλάκις καὶ γίνεταί ποτε χρειωδέστερος, ὡς ἀναιρῶν καὶ προκαθαίρων τὴν ἐνοχλοῦσάν τισιν ἀπιστίαν καὶ τοῖς ἄρτι προσιοῦσι τὴν ἀμφιβολίαν ἢ ψευδοδοξίαν. καὶ πρὸς ἓν μὲν ἑκάτερος ἀναφέρεται τέλος (εἰς γὰρ τὴν εὐσέβειαν ἔχει τὴν ἀναφορὰν ὅ, τε τὸ ψεῦδος ἐλέγχων, καὶ ὁ τὴν ἀλήθειαν κρατύνων) οὐ μὴν καὶ καθάπαξ ἕν εἰσιν, ἀλλ' ὁ μὲν, ἀναγκαῖος, ὡς ἔφην, πᾶσι τοῖς πιστεύουσι, καὶ τοῖς τῆς ἀληθείας καὶ τῆς ἰδίας σωτηρίας φροντίζουσιν· ὁ δ' ἔστιν ὅτε καί τισι καὶ πρός τινας γίνεται χρειωδέστερος. καὶ ταῦτα μὲν ἡμῖν κεφαλαιωδῶς προειρήσθω πρὸς ὑπόμνησιν τῶν ἤδη λεχθέντων, ἰτέον δὲ ἐπὶ τὸ προκείμενον, καὶ δεικτέον ἀληθῆ τὸν περὶ τῆς ἀναστάσεως λόγον, ἀπό τε τῆς αἰτίας αὐτῆς, καθ' ἣν καὶ δι' ἣν ὁ πρῶτος γέγονεν ἄνθρωπος, οἵ τε μετ' ἐκεῖνον· (εἰ καὶ μὴ κατὰ τὸν ὅμοιον γεγόνασι τρόπον) ἀπό τε τῆς κοινῆς πάντων ἀνθρώπων, ὡς ἀνθρώπων, φύσεως· ἔτι δὲ ἀπὸ τῆς τοῦ ποιήσαντος ἐπὶ τούτοις κρίσεως, καθ' ὅσον ἕκαστος ἔζησε χρόνον, καὶ καθ' οὓς ἐπολιτεύσατο νόμους· ἣν οὐκ ἄν τις ἀμφισβητήσειεν εἶναι δικαίαν.

(§. 12.) Ἐστι δὲ ὁ μὲν ἀπὸ τῆς αἰτίας λόγος, ἐὰν ἐπισκοπῶμεν πότερον ἁπλῶς καὶ μάτην γέγονεν ἄνθρωπος, ἢ τινὸς ἕνεκεν· εἰ δὲ τινος ἕνεκεν, πότερον ἐπὶ τοῦτο γενόμενον αὐτὸ τὸ ζῆν καὶ διαμένειν καθ' ἣν ἐγένετο φύσιν· ἢ διὰ χρείαν τινός. εἰ δὲ κατὰ χρείαν, ἤτοι τὴν αὐτοῦ τοῦ ποιήσαντος, ἢ ἄλλου τινὸς τῶν αὐτῷ προσηκόντων καὶ πλείονος φροντίδος ἠξιωμένων. ὃ δὴ καὶ κοινότερον σκοποῦντες, εὑρίσκομεν ὅτι πᾶς εὖ φρονῶν, καὶ λογικῇ

κρίσει πρὸς τὸ ποιεῖν τι κινούμενος, οὐδὲν ὢν κατὰ πρόθεσιν ἐνεργεῖ, ποιεῖ μάτην· ἀλλ' ἤτοι τῆς ἰδίας ἕνεκεν χρήσεως, ἢ διὰ χρεῖαν ἄλλου τινὸς ὧν πεφρόντικεν· ἢ δι' αὐτὸ τὸ γινόμενον, ὁλκῇ τινι φυσικῇ καὶ στοργῇ πρὸς τὴν αὐτοῦ γένεσιν κινούμενος. οἷον, (λεγέσθω γὰρ δι' εἰκόνος τινὸς, ἵνα σαφὲς γένηται τὸ προκείμενον) ἄνθρωπος ποιεῖ μὲν οἶκον διὰ τὴν ἰδίαν χρεῖαν, ποιεῖ δὲ βουσὶ καὶ καμήλοις, ἢ τοῖς ἄλλοις ζώοις ὧν ἔστιν ἐνδεὴς, τὴν ἑκάστῳ τούτων ἁρμόζουσαν σκέπην· οὐκ ἰδίας ἕνεκεν χρήσεως, κατὰ τὸ φαινόμενον, ἀλλὰ κατὰ μὲν τὸ τέλος, διὰ τοῦτο, κατὰ δὲ τὸ προσεχὲς, διὰ τὴν τούτων ὧν πεφρόντικεν ἐπιμέλειαν. ποιεῖται δὲ καὶ παῖδας, οὔτε διὰ χρείαν ἰδίαν, οὔτε δι' ἕτερόν τι τῶν αὐτῷ προσηκόντων, ἀλλ' ἐπὶ τῷ εἶναι τε καὶ διαμένειν καθ' ὅσον οἷόν τε, τοὺς ὑπ' αὐτοῦ γεννωμένους, τῇ τῶν παίδων καὶ τῶν ἐκγόνων διαδοχῇ τὴν ἑαυτοῦ τελευτὴν παραμυθούμενος, καὶ ταύτῃ τὸ θνητὸν ἀπαθανατίζειν οἰόμενος. ἀλλὰ ταῦτα μὲν ὑπὸ τούτων· ὁ μέν τοι θεὸς οὔτ' ἂν μάτην ἐποίησε τὸν ἄνθρωπον (ἔστι γὰρ σοφὸς· οὐδὲν δὲ σοφίας ἔργον, μάταιον) οὔτε διὰ χρείαν ἰδίαν· παντὸς γάρ ἐστιν ἀπροσδεής. τῷ δὲ μηδενὸς δεομένῳ τὸ παράπαν, οὐδὲν τῶν ὑπ' αὐτοῦ γενομένων συντελέσειεν ἂν εἰς χρείαν ἰδίαν. ἀλλ' οὐδὲ διά τινα τῶν ὑπ' αὐτοῦ γενομένων ἔργων ἐποίησε τὸν ἄνθρωπον. οὐδὲν γὰρ τῶν λόγῳ καὶ κρίσει χρωμένων, οὔτε τῶν μειζόνων οὔτε τῶν καταδεεστέρων γέγονεν ἢ γίνεται πρὸς ἑτέρου χρείαν, ἀλλὰ διὰ τὴν ἰδίαν αὐτῶν τῶν γενομένων ζωήν τε καὶ διαμονήν. οὐδὲ γὰρ ὁ λόγος εὑρίσκει τινὰ χρείαν τῆς τῶν ἀνθρώπων γένεσεως αἰτίαν· τῶν

μὲν

μὲν ἀθανάτων, ἀνενδεῶν ὄντων, καὶ μηδεμιᾶς μηδαμῶς παρ' ἀνθρώπων συντελείας πρὸς τὸ εἶναι δεομένων· τῶν δὲ ἀλόγων, ἀρχομένων κατὰ φύσιν καὶ τὰς πρὸς ὃ πέφυκεν ἕκαστον χρείας ἀνθρώποις ἀποπληρούντων· ἀλλ' οὐ τῶν τούτοις χρῆσθαι πεφυκότων. θέμις γὰρ οὔτε ἦν οὔτέ ἐστι, τὸ ἄρχον καὶ ἡγεμονοῦν ὑπάγειν εἰς χρῆσιν τοῖς ἐλάττοσιν, ἢ τὸ λογικὸν ὑποτάττειν ἀλόγοις, οὖσι πρὸς τὸ ἄρχειν ἀνεπιτηδείοις. οὐκοῦν εἰ μήτε ἀναιτίως καὶ μάτην γέγονεν ἄνθρωπος (οὐδὲν γὰρ τῶν ὑπὸ θεοῦ γενομένων, μάταιον, κατά γε τὴν τοῦ ποιήσαντος γνώμην) μήτε χρείας ἕνεκεν αὐτοῦ τοῦ ποιήσαντος, ἢ ἄλλου τινὸς τῶν ὑπὸ θεοῦ γενομένων ποιημάτων· εὔδηλον ὅτι κατὰ μὲν τὸν πρῶτον καὶ κοινότερον λόγον, δι' ἑαυτὸν, καὶ τὴν ἐπὶ πάσης τῆς δημιουργίας θεωρουμένην ἀγαθότητα καὶ σοφίαν ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον· κατὰ δὲ τὸν προσεχέστερον τοῖς γενομένοις λόγον, διὰ τὴν αὐτῶν τῶν γενομένων ζωὴν, οὐκ ἐπὶ μικρὸν ἐξαπτομένην, εἶτα παντελῶς συνεισβεννυμένην. ἑρπετοῖς γὰρ οἶμαι, πτηνοῖς καὶ νηκτοῖς, ἢ καὶ κοινότερον εἰπεῖν, πᾶσι τοῖς ἀλόγοις τὴν τοιαύτην ζωὴν ἀπένειμε θεός· τοῖς δὲ αὐτὸν ἐν ἑαυτοῖς ἀγαλματοφοροῦσι τὸν ποιητὴν, νοῦν τε συνεπιφορομένοις, καὶ λογικῆς κρίσεως μεμοιραμένοις, τὴν εἰς ἀεὶ διαμονὴν ἀπεκλήρωσεν ὁ ποιητὴς, ἵνα γινώσκοντες τὸν ἑαυτῶν ποιητὴν, καὶ τὴν τούτου δύναμίν τε καὶ σοφίαν, νόμῳ τε συνεπόμενοι καὶ δίκῃ, τούτοις δὲ συνδιαιωνίζωσιν ἀπόνως οἷς τὴν προλαβοῦσαν ἐκράτυναν ζωὴν, καίπερ ἐν φθαρτοῖς καὶ γηΐνοις ὄντες σώμασιν. ὁπόσα μὲν γὰρ ἄλλου τοῦ χάριν γέγονε, παυσαμένων ἐκείνων ὧν ἕνεκεν γέγονε, παύσεται εἰκό-

τῶς καὶ αὐτὰ τὰ γενόμενα τοῦ εἶναι, καὶ οὐκ ἂν διαμένοι μάτην (ὡς ἂν μηδεμίαν ἐν τοῖς ὑπὸ θεοῦ γενομένοις τοῦ ματαίου χώραν ἔχοντος.) τά γε μὴν δὶ αὐτὸ τὸ εἶναι καὶ ζωὴν καθὼς πέφυκε γενόμενα, ὡς αὐτῆς τῆς αἰτίας τῇ φύσει συνειλημμένης καὶ κατ' αὐτὸ μόνον τὸ εἶναι θεωρουμένης, οὐδεμίαν οὐδέποτε δέξαιτ' ἂν τὴν τὸ εἶναι παντελῶς ἀφανίζουσαν αἰτίαν· ταύτης δὲ ἐν τῷ εἶναι πάντοτε θεωρουμένης, δεῖ σώζεσθαι πάντως καὶ τὸ γενόμενον ζῶον, ἐνεργοῦν τε καὶ πάσχον ἃ πέφυκεν, ἑκατέρου τούτων ἐξ ὧν γέγονε τὰ παρ' ἑαυτοῦ συνεισφέροντος, καὶ τῆς μὲν ψυχῆς οὔσης τε καὶ διαμένουσης ὁμαλῶς ἐν ᾗ γέγονε φύσει, καὶ διαπονούσης ἃ πέφυκε (πέφυκε δὲ ταῖς τοῦ σώματος ἐπιστατεῖν ὁρμαῖς, καὶ τὸ προσπίπτον ἀεὶ τοῖς προσήκουσι κρίνειν καὶ μετρεῖν κριτηρίοις καὶ μέτροις) τοῦ δὲ σώματος κινουμένου κατὰ φύσιν πρὸς ἃ πέφυκε, καὶ τὰς ἀποκληρωθείσας αὐτῷ δεχομένου μεταβολὰς, μετὰ δὲ τῶν ἄλλων τῶν κατὰ τὰς ἡλικίας, ἢ κατ' εἶδος, ἢ μέγεθος, τὴν ἀνάστασιν. εἶδος γάρ τι μεταβολῆς καὶ πάντων ὕστατον ἡ ἀνάστασις, ἥτε τῶν κατ' ἐκεῖνον τον χρόνον περιόντων ἔτι πρὸς τὸ κρεῖττον μεταβολή.

(§. 13.) Επὶ δὲ τούτοις τεθαῤῥηκότες, οὐ μεῖον ἢ τοῖς ἤδη γενομένοις, καὶ τὴν ἑαυτῶν ἐπισκοποῦντες φύσιν, τήν τε μετ' ἐνδείας καὶ φθορᾶς ζωὴν στέργομεν, ὡς τῷ παρόντι βίῳ προσήκουσαν, καὶ τὴν ἐν ἀφθαρσίᾳ διαμονὴν ἐλπίζομεν βεβαίως· ἣν οὐ παρ' ἀνθρώπων ἀναπλάττομεν μάτην, ψευδέσιν ἑαυτοὺς βουκολοῦντες ἐλπίσιν, ἀπλανεστάτῳ δὲ πεπιστεύκαμεν ἐχεγγύῳ, τῇ τοῦ δημιουργήσαντος ἡμᾶς γνώμῃ, καθ' ἣν

ἣν ἐποίησεν ἄνθρωπον ἐκ ψυχῆς ἀθανάτου καὶ σώματος· νοῦν τε συγκατεσκεύασεν αὐτῷ καὶ νόμον ἔμφυτον ἐπὶ σωτηρίᾳ καὶ φυλακῇ τῶν παρ' αὐτοῦ δεδομένων, ἔμφρονί τε βίῳ καὶ ζωῇ λογικῇ τῶν προσηκόντων· εὖ εἰδότες ὡς οὐκ ἂν τοιοῦτον κατεσκεύασε ζῶον, καὶ πᾶσι τοῖς πρὸς διαμονὴν ἐκόσμησεν, εἰ μὴ διαμένειν ἐβούλετο τὸ γενόμενον. εἰ τοίνυν ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς ἐποίησεν ἄνθρωπον ἐπὶ τῷ ζωῆς ἔμφρονος μετασχεῖν, καὶ γενόμενον θεωρὸν τῆς τε μεγαλοπρεπείας αὐτοῦ καὶ τῆς ἐπὶ πᾶσι σοφίας, τῇ τούτων συνδιαμένειν ἀεὶ θεωρίᾳ, κατὰ τὴν ἐκείνου γνώμην, καὶ καθ' ἣν εἴληχε φύσιν· ἡ μὲν τῆς γενέσεως αἰτία πιστοῦται τὴν εἰς ἀεὶ διαμονὴν· ἡ δε διαμονὴ τὴν ἀνάστασιν· ἧς χωρὶς οὐκ ἂν διαμείνειεν ἄνθρωπος. ἐκ δὲ τῶν εἰρημένων εὔδηλον ὡς τῃ τῆς γενέσεως αἰτίᾳ, καὶ τῇ γνώμῃ τοῦ ποιήσαντος, δείκνυται σαφῶς ἡ ἀνάστασις. τοιαύτης δὲ τῆς αἰτίας οὔσης καθ' ἣν εἰς τόνδε παρῆκται τὸν κόσμον ἄνθρωπος, ἀκόλουθον ἂν εἴη τὸν τούτοις κατὰ φύσιν ἢ καθ' εἱρμὸν ἑπόμενον διασκέψασθαι λόγον. ἕπεται δὲ κατὰ τὴν ἐξέτασιν, τῇ μὲν αἰτίᾳ τῆς γενέσεως, ἡ τῶν γεννηθέντων ἀνθρώπων φύσις· τῇ δὲ φύσει τῶν γενομένων, ἡ τοῦ ποιήσαντος ἐπὶ τούτοις δικαία κρίσις· τούτοις τε πᾶσι τὸ τοῦ βίου τέλος. ἐξητασμένων δὲ ἡμῖν τῶν προτεταγμένων, ἐπισκεπτέον ἑξῆς τὴν τῶν ἀνθρώπων φύσιν.

(§. 14.) Η τῶν τῆς ἀληθείας δογμάτων, ἢ τῶν ὁπωσοῦν εἰς ἐξέτασιν προβαλλομένων ἀπόδειξις, τὴν ἀπλανῆ τοῖς λεγομένοις ἐπιφέρουσα πίστιν, ἥτις οὐκ ἔξωθέν ποθεν ἔχει τὴν ἀρχὴν, οὐδ' ἐκ τῶν τισι δοκούντων ἢ δεδογμένων, ἀλλ' ἐκ τῆς κοινῆς καὶ φυσικῆς

κῆς ἐννοίας, ἢ τῆς πρὸς τὰ πρωτα τῶν δευτέρων ἀκολουθίας. ἢ γὰρ περὶ τῶν πρωτων ἐστὶ δογμάτων, καὶ δεῖ μόνης ὑπομνήσεως τῆς τὴν Φυσικὴν ἀνακινούσης ἔννοιαν· ἢ περὶ τῶν κατὰ Φύσιν ἑπομένων τοῖς πρωτοις, καὶ τῆς Φυσικῆς ἀκολουθίας, καὶ δεῖ τῆς ἐπὶ τούτοις τάξεως, δεικνύντας τί τοῖς πρωτοις ἢ τοῖς προτεταγμένοις ἀκολουθεῖ κατ' ἀλήθειαν, ἐπὶ τῷ μήτε τῆς ἀληθείας ἢ τῆς κατ' αὐτὴν ἀσφαλείας ἀμελεῖν, μήτε τὰ τῇ Φύσει τεταγμένα καὶ διωρισμένα συγχεῖν, ἢ τον Φυσικὸν εἱρμὸν διασπᾷν. ὅθεν οἶμαι χρῆναι δίκαιον περὶ τῶν προκειμένων ἐσπουδακότας καὶ κρίνειν ἐμφρόνως θέλοντας, εἴτε γίνεται τῶν ἀνθρωπίνων σωμάτων ἀνάστασις, εἴτε μὴ, πρωτον μὲν ἐπισκοπεῖν καλῶς τῶν πρὸς τὴν τοῦδε δεῖξιν συντελούντων τὴν δύναμιν, καὶ ποίαν ἕκαστον εἴληχε χώραν, καὶ τὶ μὲν τούτων πρῶτον, τὶ δὲ δεύτερον, τὶ δὲ τρίτον, τὶ δὲ ἐπὶ τούτοις ὕστατον. ταῦτα δὲ διαταξαμένοις χρὴ πρωτην μὲν τάξαι τὴν αἰτίαν τῆς τῶν ἀνθρώπων γενέσεως, τουτέστι τὴν τοῦ δημιουργήσαντος γνώμην καθ' ἣν ἐποίησεν ἄνθρωπον· ταύτῃ δὲ προσφυῶς ἐπισυνάψαι τὴν τῶν γενομένων ἀνθρώπων Φύσιν, οὐχ ὡς τῇ τάξει δευτερεύουσαν, διὰ δὲ τὸ μὴ δύνασθαι κατὰ ταυτὸν ἀμφοτέρων γενέσθαι τὴν κρίσιν· κἂν ὅτι μάλιστα συνυπάρχωσιν ἀλλήλαις καὶ πρὸς τὸ προκείμενον τὴν ἴσην παρέχωνται δύναμιν. διὰ δὲ τούτων, ὡς πρώτων, καὶ τὴν ἐκ δημιουργίας ἐχόντων ἀρχὴν ἐναργῶς δεικνυμένης τῆς ἀναστάσεως, οὐδὲν ἧττον καὶ διὰ τῶν τῆς προνοίας λόγων ἐστὶ λαβεῖν τὴν περὶ ταύτης πίστιν· λέγω δὲ διὰ τῆς ἑκάστῳ τῶν ἀνθρώπων ὀφειλομένης κατὰ δικαίαν κρίσιν τιμῆς ἢ δίκης, καὶ

τοῦ

τοῦ κατὰ τὸν ἀνθρώπινον βίον τέλους. πολλοὶ γὰρ τὸν τῆς ἀναστάσεως λόγον διαλαμβάνοντες, τῷ τρίτῳ μόνῳ τὴν πᾶσαν ἐπηρείσαν αἰτίαν, νομίσαντες τὴν αἰτίαν γίνεσθαι διὰ τὴν κρίσιν. τοῦτο δὲ περιφανῶς δείκνυται ψεῦδος ἐκ τοῦ πάντας μὲν ἀνίστασθαι τοὺς ἀποθνήσκοντας ἀνθρώπους, μὴ πάντας δὲ κρίνεσθαι τοὺς ἀναστάντας. εἰ γὰρ μόνον τὸ κατὰ τὴν κρίσιν δίκαιον, τῆς ἀναστάσεως ἦν αἴτιον, ἐχρῆν δήπου τοὺς μηδὲν ἡμαρτηκότας, ἢ κατορθώσαντας, μηδ' ἀνίστασθαι, τουτέστι τοὺς κομιδῇ νέους παῖδας· ἐξὸν δὲ πάντας ἀνίστασθαι, τούς τε ἄλλους, καὶ δὴ καὶ τοὺς κατὰ τὴν πρωτην ἡλικίαν τελευτήσαντας, οἳ καὶ αὐτοὶ δικαιοῦσιν ὡς οὐ διὰ τὴν κρίσιν ἡ ἀνάστασις γίνεται κατὰ πρῶτον λόγον, ἀλλὰ διὰ τὴν τοῦ δημιουργήσαντος γνώμην, καὶ τὴν τῶν δημιουργηθέντων φύσιν.

(§. 15.) Ἀρκούσης δὲ καὶ μόνης τῆς ἐπὶ τῇ γενέσει τῶν ἀνθρώπων θεωρουμένης αἰτίας, δεῖξαι τὴν ἀνάστασιν κατὰ φυσικὴν ἀκολουθίαν ἑπομένην τοῖς διαλυθεῖσι σώμασι· δίκαιον ἴσως πρὸς μηδὲν ἀποκνῆσαι τῶν προτεθέντων, ἀκολούθως δὲ τοῖς εἰρημένοις, καὶ τὰς ἐξ ἑκάστου τῶν ἑπομένων ἀφορμὰς ὑποδεῖξαι τοῖς ἐξ αὐτῶν συνιδεῖν μὴ δυναμένοις· καὶ πρός γε τῶν ἄλλων, τὴν τῶν γενομένων ἀνθρώπων φύσιν, ἐπὶ τὴν αὐτὴν ἄγουσαν ἔννοιαν, καὶ τὴν ἴσην παρέχουσαν περὶ τῆς ἀναστάσεως πίστιν. εἰ γὰρ πᾶσα κοινῶς ἡ τῶν ἀνθρώπων φύσις, ἐκ ψυχῆς ἀθανάτου, καὶ του κατὰ τὴν γενέσιν αὐτῇ συναρμοσθεντος σώματος ἔχει τὴν σύστασιν. καὶ μήτε τῇ φύσει τῆς ψυχῆς καθ' ἑαυτὴν, μήτε τῇ φύσει τοῦ σώματος χωρὶς ἀπεκλήρωσε θεὸς τὴν τοιάνδε γενέσιν, ἢ τὴν ζωὴν καὶ τὸν σύμπαντα βίον, ἀλλὰ τοῖς ἐκ

ἐκ τούτων γενομένοις ἀνθρώποις, ἵν' ἐξ ὧν γεννῶνται καὶ ζῶσι, διαβιώσαντες εἰς ἕν τι καὶ κοινὸν καταλήξωσι τέλος· δεῖ πάντως ἑνὸς ὄντος ἐξ ἀμφοτέρων ζώου· καὶ τοῦ πάσχοντος ὁπόσα πάθη ψυχῆς, καὶ ὁπόσα τοῦ σώματος ἐνεργοῦντός τε καὶ πράττοντος, ὁπόσα τῆς αἰσθητικῆς ἢ τῆς λογικῆς δεῖται κρίσεως, πρὸς ἕν τι τέλος ἀναφέρεσθαι πάντα τὸν ἐκ τούτων εἱρμόν· ἵνα πάντα καὶ διὰ πάντων συντρέχῃ πρὸς μίαν ἁρμονίαν καὶ τὴν αὐτὴν συμπάθειαν ἀνθρώπου, γενέσις ἀνθρώπου, φύσις ἀνθρώπου, ζωὴ ἀνθρώπου, πρᾶξεις καὶ πάθη, καὶ βίος, καὶ τὸ τῇ φύσει προσῆκον τέλος. εἰ δὲ μία τίς ἐστιν ἁρμονία τοῦ ζώου παντὸς καὶ συμπάθεια, καὶ τῶν ἐκ ψυχῆς φυομένων, καὶ τῶν διὰ τοῦ σώματος ἐπιτελουμένων, ἓν εἶναι δεῖ καὶ τὸ ἐπὶ πᾶσι τούτοις τελος. ἓν δὲ τέλος ἔσται κατ' ἀληθειαν τοῦ αὐτοῦ ζώου κατὰ τὴν ἑαυτοῦ σύστασιν ὄντος, οὗπέρ ἐστι τέλος τὸ τέλος. τὸ αὐτὸ δὲ ζῶον ἔσται καθαρῶς, τῶν αὐτῶν ὄντων πάντων ἐξ ὧν ὡς μερῶν τὸ ζῶον· τὰ αὐτὰ δὲ, κατὰ τὴν ἰδιάζουσαν ἕνωσιν ἔσται, τῶν διαλυθέντων, πάλιν ἑνωθέντων πρὸς τὴν τοῦ ζώου σύστασιν. ἡ δὲ τῶν αὐτῶν ἀνθρώπων σύστασις ἐξ ἀνάγκης ἑπομένην δείκνυσι τὴν τῶν νεκρωθέντων καὶ διαλυθέντων σωμάτων ἀνάστασιν. ταύτης γὰρ χωρὶς, οὔτ' ἂν ἑνωθείη τὰ αὐτὰ μέρη κατὰ φύσιν ἀλλήλοις, οὔτ' ἂν συσταίη τῶν αὐτῶν ἀνθρώπων ἡ φύσις. εἰ δὲ καὶ νοῦς καὶ λόγος δέδοται τοῖς ἀνθρωποις πρὸς διάκρισιν νοητῶν, οὐκ οὐσιῶν μόνον, ἀλλὰ καὶ τῆς τοῦ δόντος ἀγαθότητος καὶ σοφίας καὶ δικαιοσύνης· ἀνάγκη, διαμενόντων ὧν ἕνεκεν ἡ λογικὴ δέδοται κρίσις, καὶ αὐτὴν διαμένειν τὴν ἐπὶ τουτοις δοθεῖσαν κρίσιν.

ταύ-

ταύτην δὲ διαμένειν ἀδύνατον, μὴ τῆς δεξαμένης αὐτὴν καὶ τῆς ἐν οἷς ἐστι διαμενούσης Φύσεως· ὁ δὲ καὶ νοῦν καὶ λόγον δεξάμενος, ἔστιν ἄνθρωπος, οὐ ψυχὴ καθ' ἑαυτήν. ἄνθρωπον ἄρα δεῖ τὸν ἐξ ἀμφοτέρων ὄντα διαμένειν εἰς ἀεί. τοῦτον δὲ ἀδύνατον διαμένειν, μὴ ἀνιστάμενον. ἀναστάσεως γὰρ μὴ γινομένης, οὐκ ἂν ἡ τῶν ἀνθρώπων ὡς ἀνθρώπων διαμένοι Φύσις. τῆς δὲ τῶν ἀνθρώπων Φύσεως μὴ διαμενούσης, μάτην μὲν ἡ ψυχὴ συνήρμοσται τῇ τοῦ σώματος ἐνδείᾳ καὶ τοῖς τούτου πάθεσι· μάτην δὲ τὸ σῶμα πεπέδηται πρὸς τὸ τυγχάνειν ὧν ὀρέγεται, ταῖς τῆς ψυχῆς ἡνίαις ὑπεῖκον καὶ χαλιναγωγούμενον· μάταιος δὲ ὁ νοῦς, ματαία δὲ Φρόνησις, καὶ δικαιοσύνης παρατήρησις, ἢ καὶ πάσης ἀρητῆς ἄσκησις, καὶ νόμων θέσις καὶ διάταξις, καὶ συνόλως εἰπεῖν, πᾶν ὅ τί περ ἐν ἀνθρώποις καὶ δἰ ἀςθρώπους καλὸν, μᾶλλον δὲ καὶ αὐτὴ τῶν ἀνθρώπων ἡ γένεσις τε καὶ Φύσις. εἰ δὲ πάντων καὶ πανταχόθεν ἀπελήλαται τῶν ἔργων τοῦ θεοῦ, καὶ τῶν ὑπ' ἐκείνου διδομένων δωρεῶν τὸ μάταιον, δεῖ πάντως τῷ τῆς ψυχῆς ἀτελευτήτῳ συνδιαιωνίζειν τὴν τοῦ σώματος διαμονὴν κατὰ τὴν ἰδίαν Φύσιν.

(§. 16.) Ξενιζέσθω δὲ μηδεὶς, εἰ τὴν θανάτῳ καὶ Φθορᾷ διακοπτομένην ζωὴν, ὀνομάζομεν διαμονὴν, λογιζόμενος ὥς οὐχ εἷς τοῦ προσρήματος ὅ λόγος, οὐχ ἓν τῆς διαμονῆς τὸ μέτρον· ὅτι μηδὲ τῶν διαμενόντων Φύσις μία. εἴπερ γὰρ κατὰ τὴν οἰκείαν Φύσιν ἕκαστον τῶν διαμενόντων ἔχει τὴν διαμονὴν, οὐκ ἐπὶ τῶν καθαρῶς ἀφθάρτων καὶ ἀθανάτων εὕροι τὶς ἂν ἰσάζουσαν τὴν διαμονὴν, τῷ μηδὲ τὰς οὐσίας τῶν κρειττόνων συνεξισοῦσθαι ταῖς καθ' ὑπόβασιν διαφερούσαις· οὔτ' ἐπὶ τῶν ἀνθρώπων

τὴν

τὴν ὁμαλὴν ἐκείνην τῆς ἀμετάβλητον ἐπιζητεῖν ἄξιον· ἅτε δὴ τῶν μὲν, ἐξ ἀρχῆς γενομένων ἀθανάτων, καὶ διαμενόντων μόνῃ τῇ γνώμῃ τοῦ ποιήσαντος ἀτελευτήτως· τῶν δὲ ἀνθρώπων, κατὰ μὲν τὴν ψυχὴν, ἀπὸ γενέσεως ἐχόντων τὴν ἀμετάβλητον διαμονήν· κατὰ δὲ τὸ σῶμα, προσλαμβανόντων ἐκ μεταβολῆς τὴν ἀφθαρσίαν. ὅπερ ὁ τῆς ἀναστάσεως λόγος βούλεται. πρὸς ἣν ἀποβλέποντες, τήν τε διάλυσιν τοῦ σώματος, ὡς ἑπομένην τῇ μετ' ἐνδείας καὶ φθορᾶς ζωῇ, περιμένομεν, καὶ μετὰ ταύτην, τὴς μετ' ἀφθαρσίας ἐλπίζομεν διαμονήν· οὔτε τῇ τῶν ἀλόγων τελευτῇ συνεξισοῦντες τὴν ἡμετέραν τελευτὴν, οὔτε τῇ τῶν ἀθανάτων διαμονῇ τὴν τῶν ἀνθρώπων διαμονὴν, ἵνα μὴ λαθωμεν ταύτῃ συνεξισοῦντες, καὶ τὴν τῶν ἀνθρώπων φύσιν καὶ ζωὴν οἷς μὴ προσῆκεν. οὐ τοίνυν ἐπὶ τούτῳ δυσχεραίνειν ἄξιον, εἴ τις ἀνωμαλία θεωρεῖται ἐπὶ τὴν τῶν ἀνθρώπων διαμονὴν, οὐδ' ἐπειδὴ χωρισμὸς ψυχῆς ἀπὸ τῶν τοῦ σώματος μερῶν, καὶ μορίων διάλυσις τὴν συνεχῆ διακόπτει ζωὴν, διὰ τουτ' ἀπογινώσκειν χρὴ τὴν ἀνάστασιν. οὐδὲ γὰρ ἐπειδὴ τὴν κατὰ συναίσθησιν ζωὴν διακόπτειν δοκοῦσιν αἱ κατὰ τὸν ὕπνον φυσικῶς ἐγγινόμεναι παρέσεις τῶν αἰσθήσεων καὶ τῶν φυσικῶν δυνάμεων, ἰσομέτεροις χρόνου διαστήμασιν ὑπνούντων τῶν ἀνθρώπων, καὶ τρόπον τινὰ πάλιν ἀναβιωσκόντων, τὴν αὐτὴν παραιτούμεθα ζωὴν λέγειν. παρ' ἣν αἰτίαν, οἶμαι, τινὲς ἀδελφὸν τοῦ θανάτου τὸν ὕπνον ὀνομάζουσιν, οὐχ ὡς ἐκ τῶν αὐτῶν προγονῶν ἢ πατέρων φύντας γενεαλογοῦντες, ἀλλ' ὡς τῶν ὁμοιων παθῶν τοῖς τε θανοῦσι καὶ τοῖς ὑπνοῦσιν ἐγγινομένων, ἕνεκά γε τῆς ἠρεμίας καὶ τοῦ μηδενὸς ἐπαισθάνεσθαι

των

τῶν παρόντων, ἢ γινομένων, μᾶλλον δὲ μηδὲ τοῦ εἶναι καὶ τῆς ἰδίας ζωῆς. εἴπερ οὖν τὴν τῶν ἀνθρώπων ζωὴν τοσαύτης γέμουσαν ἀνωμαλίας ἀπὸ γενέσεως μέχρι διαλύσεως, καὶ διακοπτομένην πᾶσιν οἷς προείπομεν, οὐ παραιτούμεθα τὴν αὐτὴν λέγειν ζωήν· οὐδὲ τὴν ἐπέκεινα τῆς διαλύσεως ζωὴν, ἥτις ἑαυτῇ συνεισάγει τὴν ἀνάστασιν, ἀπογινώσκειν ὀφείλομεν, κἂν ἐπὶ ποσὸν διακόπτηται τῷ χωρισμῷ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος.

(§. 17) Αὕτη γὰρ τῶν ἀνθρώπων ἡ φύσις ἄνωθεν καὶ κατὰ γνώμην τοῦ ποιήσαντος συγκεκληρωμένην ἔχουσα τὴν ἀνωμαλίαν, ἀνώμαλον ἔχει τὴν ζωὴν καὶ τὴν διαμονὴν, ποτὲ μὲν ὕπνῳ, ποτὲ δὲ θανάτῳ διακοπτομένην, καὶ ταῖς καθ' ἑκάστην ἡλικίαν μεταβολαῖς, οὐκ ἐμφαινομένων ἐναργῶς τοῖς πρώτοις τῶν ὕστερον ἐπιγινομένων. ἢ τίς ἂν ἐπίστευσεν, μὴ τῇ πείρᾳ δεδιδαγμένος, ἐν ὁμοιομερεῖ καὶ διαπλάστῳ τῷ σπέρματι τοσούτων καὶ τηλικούτων ἀποκεῖσθαι δυνάμεων, ἢ τῶν ταύτῃ ἐπισυνισταμένων καὶ πηγνυμένων ὄγκων διαφορὰν, ὀστέων φημὶ, καὶ νεύρων καὶ χόνδρων, ἔτι δὲ καὶ μυῶν, καὶ σαρκῶν, καὶ σπλαγχνων, καὶ τῶν λοιπῶν τοῦ σώματος μερῶν. οὔτε γὰρ ἐν ὑγροῖς ἔτι τοῖς σπέρμασι τούτων ἐστὶν ἰδεῖν οὐδὲν, οὔτε μὴν τοῖς νηπίοις ἐμφαίνεταί τι τῶν τοῖς τελείοις ἐπιγινομένων· ἢ τῇ τῶν τελείων ἡλικίᾳ τὰ τῶν παρηβηκότων, ἢ τούτοις τὰ τῶν γεγηρακότων. ἀλλὰ δὴ καίτοι τῶν εἰρημένων τινῶν μὲν οὐδ' ὅλως, τινῶν δὲ ἀμυδρῶς ἐμφαινόντων τὴν φυσικὴν ἀκολουθίαν, καὶ τὰς τῇ φύσει τῶν ἀνθρώπων ἐπιγινομένας μεταβολὰς, ὅμως ἴσασιν ὅσοι μὴ τυφλώττουσιν ὑπὸ κακίας ἢ ῥαθυμίας

περὶ τὴν τούτων κρίσιν, ὅτι δεῖ πρῶτον μὲν γενέσθαι τῶν σπερμάτων καταβολὴν, διαρθρωθέντων δὲ τούτων καθ' ἕκαστον μέρος καὶ μόριον, καὶ προελθόντων εἰς φῶς τῶν κυηθέντων, ἐπιγίνεται μὲν ἡ κατὰ τὴν πρώτην ἡλικίαν αὔξησις, ἥ τε κατ' αὔξησιν τελείωσις, τελειωθέντων δὲ ὕφεσις τῶν φυσικῶν δυνάμεων μέχρι γήρως· εἶτα πεπονηκότων τῶν σωμάτων ἡ διάλυσις. ὥσπερ οὖν ἐπὶ τούτῳ οὔτε τοῦ σπέρματος ἐγγεγραμμένην ἔχοντος τὴν τῶν ἀνθρώπων ζωὴν, ἢ μορφὴν, οὔτε τῆς ζωῆς τὴν εἰς τὰς πρώτας ἀρχὰς διάλυσιν, ὁ τῶν φυσικῶς γενομένων εἱρμὸς παρέχει τὴν πίστιν τοῖς οὐκ ἐξ αὐτῶν τῶν φαινομένων ἔχουσι τὸ πιστὸν, πολὺ μᾶλλον ὁ λόγος ἐκ τῆς φυσικῆς ἀκολουθίας ἀνιχνεύων τὴν ἀλήθειαν, πιστοῦται τὴν ἀνάστασιν, ἀσφαλέστερος ὢν καὶ κρείττων τῆς πείρας πρὸς πίστωσιν ἀληθείας.

(§. 18.) Τῶν πρώην ἡμῖν εἰς ἐξέτασιν προτεθέντων λόγων, καὶ τὴν ἀνάστασιν πιστουμένων, πάντες μὲν εἰσιν ὁμογενεῖς, ὡς ἐκ τῆς αὐτῆς φύντες ἀρχῆς (ἀρχὴ γὰρ αὐτοῖς ἡ τῶν πρώτων ἀνθρώπων ἐκ δημιουργίας γένεσις) ἀλλ' οἱ μὲν ἐξ αὐτῆς κρατύνονται τῆς πρώτης ἀρχῆς ἐξ ἧσπερ ἔφυσαν, οἱ δὲ, παρεπόμενοι τῇ τε φύσει καὶ τῷ βίῳ τῶν ἀνθρώπων, ἐκ τῆς τοῦ θεοῦ περὶ ἡμᾶς προνοίας λαμβάνουσι τὴν πίστιν. (ἡ μὲν γὰρ αἰτία καθ' ἣν καὶ δι' ἣν γεγόνασιν ἄνθρωποι, συνεζευγμένη τῇ φύσει τῶν ἀνθρώπων, ἐκ δημιουργίας ἔχει τὴν ἰσχύν· ὁ δὲ τῆς δικαιοσύνης λόγος, καθ' ὃν κρίνει θεὸς τοὺς εὖ ἢ κακῶς βεβιωκότας ἀνθρώπους, ἐκ τοῦ τούτων τέλους) φύονται μὲν γὰρ ἐκεῖθεν, ἤρτηνται δὲ μᾶλλον τῆς προνοίας· δεδειγμένων

νων δὲ ἡμῖν τῶν πρώτων ὡς οἷόν τε, καλῶς ἂν ἔχοι καὶ διὰ τῶν ὑστέρων δεῖξαι τὸ προκείμενον· λέγω δὲ διὰ τῆς ὀφειλομένης ἑκάστῳ τῶν ἀνθρώπων κατὰ δικαίαν κρίσιν τιμῆς ἢ δίκης, καὶ τοῦ κατὰ τὸν ἀνθρώπινον βίον τέλους. αὐτῶν δὲ τούτων προτάξαι τὸν κατὰ φύσιν ἡγούμενον· καὶ πρῶτόν γε διασκέψασθαι τὸν περὶ τῆς κρίσεως λόγον· τοσοῦτον μόνον ὑπειπόντας φροντίδι τῆς προσηκούσης τοῖς προκειμένοις ἀρχῆς καὶ τάξεως, ὅτι δεῖ τοὺς ποιητὴν τὸν θεὸν τοῦδε τοῦ παντὸς παραδεξαμένους, τῇ τούτου σοφίᾳ καὶ δικαιοσύνῃ τὴν τῶν γενομένων ἁπάντων ἀνατιθέναι φυλακήν τε καὶ πρόνοιαν· εἴγε ταῖς ἰδίαις ἀρχαῖς παραμένειν ἐθέλοιεν· ταῦτα δὲ περὶ τούτων φρονοῦντας, μηδὲν ἡγεῖσθαι μήτε τῶν κατὰ γῆν, μήτε τῶν κατ' οὐρανὸν, ἀνεπιτρόπευτον, μηδ' ἀπρονόητον, ἀλλ' ἐπὶ πᾶν ἀφανὲς ὁμοίως καὶ φαινόμενον, μικρόν τε καὶ μεῖζον, διήκουσαν γινώσκειν τὴν παρὰ τοῦ ποιήσαντος ἐπιμέλειαν. δεῖται γὰρ πάντα γενόμενα τῆς παρὰ τοῦ ποιήσαντος ἐπιμελείας, ἰδίως δὲ ἕκαστον καθ' ὃ πέφυκε, καὶ πρὸς ὃ πέφυκεν ἃ χρή. οὐ γὰρ οἶμαι φιλοτιμίας τὸ κατάγειν, ἢ διαιρεῖν νῦν, ἢ τὸ πρόσφορον ἑκάστῃ φύσει καταλέγειν ἐθέλειν. ὅγε μὴν ἄνθρωπος περὶ οὗ νῦν πρόκειται λέγειν, ὡς μὲν ἐνδεὴς, δεῖται τροφῆς· ὡς δὲ θνητὸς, διαδοχῆς· ὡς δὲ λογικὸς, δίκης. εἰ δὲ τῶν εἰρημένων ἕκαστόν ἐστιν ἀνθρώπῳ κατὰ φύσιν, καὶ δεῖται μὲν τροφῆς διὰ τὴν ζωὴν, δεῖται δὲ διαδοχῆς διὰ τὴν τοῦ γένους διαμονὴν, δεῖται δὲ δίκης διὰ τὸ τῆς τροφῆς καὶ τῆς διαδοχῆς ἔννομον, ἀνάγκη δήπου, τῆς τροφῆς καὶ τῆς διαδοχῆς ἐπὶ τὸ συναμφότερον φερομένης, ἐπὶ τοῦτο φέρεσθαι καὶ τὴν

δί-

δίκην· λέγω δὴ συναμφότερον τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον· καὶ τὸν τοιοῦτον ἄνθρωπον γίνεσθαι πάντων τῶν πεπραγμένων ὑπόδικον, τήν τε ἐπὶ τούτοις δέχεσθαι τιμὴν ἢ τιμωρίαν. εἰ δὲ κατὰ τοῦ συναμφοτέρου φέρει τὴν ἐπὶ τοῖς εἰργασμένοις δίκην ἡ δικαία κρίσις, καὶ μήτε τὴν ψυχὴν μόνην δεῖ κομίσασθαι τὰ ἐπίχειρα τῶν μετὰ τοῦ σώματος εἰργασμένων· (ἀπροσπαθὴς γὰρ αὕτη καθ' ἑαυτὴν τῶν περὶ τὰς σωματικὰς ἡδονὰς ἢ τροφὰς καὶ θεραπείας γινομένων πλημμελημάτων·) μήτε τὸ σῶμα μόνον· (ἄκριτον γὰρ τοῦτο καθ' ἑαυτὸ νόμου καὶ δίκης·) ὁ δὲ ἐκ τούτων ἄνθρωπος τὴν ἐφ' ἑκάστῳ τῶν εἰργασμένων αὐτῷ δέχεται κρίσιν. τοῦτο δὲ οὔτε κατὰ τήνδε τὴν ζωὴν εὑρίσκει συμβαῖνον ὁ λόγος· (οὐ γὰρ σώζεται τὸ κατὰ ἀξίαν ἐν τῷ παρόντι βίῳ· διὰ τὸ πολλους μὲν ἀθέους καὶ πᾶσαν ἀνομίαν καὶ κακίαν ἐπιτηδεύοντας, μέχρι τελευτῆς διατελεῖν κακῶν ἀπειράτους. καὶ τοὐναντίον τοὺς κατὰ πᾶσαν ἀρετὴν ἐξητασμένον τὸν ἑαυτῶν βίον ἐπιδειξαμένοις, ἐν ὀδύναις ζῆν, ἐν ἐπηρείαις, ἐν συκοφαντίαις, αἰκίαις τε καὶ παντοίαις κακοπαθείαις·) οὔτε δὲ μετὰ θάνατον· (οὐδὲ γὰρ ἐστιν ἔτι τὸ συναμφότερον, χωριζομένης μὲν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, σκεδαννυμένου δὲ καὶ αὐτοῦ τοῦ σώματος εἰς ἐκεῖνα πάλιν ἐξ ὧν συνεφορήθη, καὶ μηδὲν ἔτι σώζοντος τῆς προτέρας φυῆς, ἢ μορφῆς, ἤπου γε τὴν μνήμην τῶν πεπραγμένων·) εὔδηλον παντὶ τὸ λειπόμενον, ὅτι δεῖ κατὰ τὸν Ἀπόστολον, τὸ φθαρτὸν τοῦτο καὶ διασκεδαστὸν ἐνδύσασθαι ἀφθαρσίαν, ἵνα ζωοποιηθέντων ἐξ ἀναστάσεως τῶν νεκρωθέντων, καὶ πάλιν ἑνωθέντων τῶν κεχωρισμένων, ἢ καὶ πάντη δια-

διαλελυμένων, ἕκαστος κομίσηται δικαίως ἃ διὰ τοῦ σώματος ἔπραξεν, εἴτε ἀγαθὰ, εἴτε κακά.

(§. 19.) Πρὸς μὲν οὖν τοὺς ὁμολογοῦντας τὴν πρόνοιαν, καὶ τὰς αὐτὰς ἡμῖν παραδεξαμένους ἀρχὰς, εἶτα τῶν οἰκείων ὑποθέσεων οὐκ οἶδ' ὅπως ἐκπίπτοντας, τοιούτοις χρήσαιτ' ἄν τις λόγοις, καὶ πολλῷ πλείοσι τούτων, εἴγε πλατύνειν ἐθέλοι τὰ συντόμως καὶ κατ' ἐπιδρομὴν εἰρημένα. πρὸς δὲ γε τοὺς περὶ τῶν πρώτων διαφερομένους ἴσως ἂν ἔχοι καλῶς ἑτέραν ὑποθέσθαι πρὸ τούτων ἀρχὴν, συνδιαποροῦντας αὐτοῖς περὶ ὧν δοξάζουσι, καὶ τοιαῦτα συνδιασκεπτομένους, ἆρά γε πάντη καθάπαξ ἡ τῶν ἀνθρώπων παρῶπται ζωὴ καὶ σύμπας ὁ βίος, ζόφος δὲ τις βαθὺς κατακέχυται τῆς γῆς, ἀγνοίᾳ καὶ σιγῇ κρύπτων αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὰς τούτων πράξεις· ἢ πολὺ τούτων ἀσφαλέστερον τὸ δοξάζειν ὅτι τοῖς ἑαυτοῦ ποιήμασιν ἐφέστηκεν ὁ ποιήσας, πάντων τῶν ὁπωσοῦν ὄντων ἢ γινομένων ἔφορος, ἔργων τε καὶ βουλευμάτων κριτής. εἰ μὲν γὰρ μηδεμία μηδαμοῦ τῶν ἀνθρώποις πεπραγμένων γίγνοιτο κρίσις, οὐδὲν ἕξουσι πλεῖον τῶν ἀλόγων ἄνθρωποι· μᾶλλον δὲ κἀκείνων πράξουσιν ἀθλιώτερον, οἱ τὰ πάθη δουλαγωγοῦντες, καὶ φροντίζοντες εὐσεβείας καὶ δικαιοσύνης, ἢ τῆς ἄλλης ἀρετῆς· ὁ δὲ κτηνώδης βίος καὶ θηριώδης, ἄριστος· ἀρετὴ δὲ, ἀνόητος· δίκης δὲ ἀπειλὴ, γέλως πλατύς· τὸ δὲ πᾶσαν θεραπεύειν ἡδονὴν, ἀγαθὸν τὸ μέγιστον. δόγμα δὲ κοινὸν τούτων ἁπάντων καὶ νόμος εἷς τὸ τοῖς ἀκολάστοις καὶ λάγνοις φίλον, Φάγωμεν δὲ καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. τοῦ γὰρ τοιούτου βίου τέλος οὐδὲ ἡδονὴ κατά

τινας, ἀλλ' ἀναισθησία παντελής. εἰ δέ ἐστί τις τῷ ποιήσαντι τοὺς ἀνθρώπους τῶν ἰδίων ποιημάτων φροντὶς, καὶ σώζεταί που τῶν εὖ ἢ κακῶς βεβιωμένων ἡ διάκρισις, ἤτοι κατὰ τὸν παρόντα βίον, ζώντων ἔτι τῶν κατ' ἀρετὴν ἢ κακίαν βεβιωκότων, ἢ μετὰ θάνατον, ἐν χωρισμῷ καὶ διαλύσει τυγχανόντων. ἀλλὰ κατ' οὐδέτερον τῶν εἰρημένων εὑρεῖν δυνατὸν σωζομένην τὴν δικαίαν κρίσιν. οὔτε γὰρ οἱ σπουδαῖοι κατὰ τὴν παροῦσαν ζωὴν φέρονται τὰ τῆς ἀρετῆς ἐπίχειρα, οὔτε μὴν οἱ φαῦλοι τὰ τῆς κακίας. παρίημι γὰρ λέγειν ὅτι σωζομένης τῆς φύσεως, ἐν ᾗ νῦν ἐσμὲν, οὐδ' ἡ θνητὴ φύσις ἐνεγκεῖν οἵα τε τὴν σύμμετρον δίκην πλειόνων ἢ βαρυτέρων φερομένων πλημμελημάτων. ὅ, τε γὰρ μυρίους ἐπὶ μυρίοις ἀνελὼν ἀδίκως λῃστὴς, ἢ δυνάστης, ἢ τύραννος, οὐκ ἂν ἑνὶ θανάτῳ λύσειε τὴν ἐπὶ τούτοις δίκην· ὅ, τε μηδὲν περὶ θεοῦ δοξάζων ἀληθὲς, ὕβρει δὲ πάσῃ καὶ βλασφημίᾳ συζῶν, καὶ παρορῶν μὲν τὰ θεῖα, καταλύων δὲ νόμους, ὑβρίσας δὲ παῖδας ὁμοῦ καὶ γυναῖκας, κατασκάψας δὲ πόλεις ἀδίκως, ἐμπρήσας δὲ οἴκους μετὰ τῶν ἐνοικούντων, καὶ δῃώσας χώραν, καὶ τούτοις συναφανίσας δήμους καὶ λαοὺς, ἢ καὶ σύμπαν ἔθνος, πῶς ἂν ἐν τῷ φθαρτῷ σώματι πρὸς τὴν τούτοις σύμμετρον ἀρκέσειε δίκην, προλαμβάνοντος τοῦ θανάτου τὸ κατ' ἀξίαν, καὶ μηδὲ πρὸς ἕν τι τῶν εἰργασμένων τῆς θνητῆς ἐξαρκούσης φύσεως; οὔτ' οὖν κατὰ τὴν παροῦσαν ζωὴν ἡ κατ' ἀξίαν δείκνυται κρίσις· οὔτε μετὰ θάνατον.

(§. 20.) Ἤτοι γὰρ παντελής ἐστι σβέσις τῆς ζωῆς ὁ θάνατος, συνδιαλυομένης τῷ σώματι τῆς ψυχῆς καὶ συν-

συνδιαφθειρομένης· ἢ μένει μὲν καθ' ἑαυτὴν ἄλυτος ἡ ψυχὴ, ἀσκέδαστος, ἀδιάφθορος, φθείρεται δὲ καὶ διαλύεται τὸ σῶμα, οὐδεμίαν ἔτι σῶζον οὔτε μνήμην τῶν εἰργασμένων, οὔτ' αἴσθησιν τῶν ἐπ' αὐτῇ παθημάτων. σβεννυμένης μὲν γὰρ παντελῶς τῆς τῶν ἀνθρώπων ζωῆς, οὐδεμία φανήσεται τῶν ἀνθρώπων οὐ ζώντων φροντὶς, οὐ τῶν κατ' ἀρετὴν ἢ κακίαν βεβιωκότων ἡ κρίσις· ἐπεισκυκληθήσεται δὲ πάλιν τὰ τῆς ἀνόμου ζωῆς, καὶ τῶν ταύτῃ συνεπομένων ἀτόπων τὸ σμῆνος, τό, τε τῆς ἀνομίας ταύτης κεφάλαιον, ἀθεότης. εἰ δὲ φθείροιτο μὲν τὸ σῶμα καὶ χωροίη πρὸς τὸ συγγενὲς τῶν λελυμένων ἕκαστον, μένοι δὲ ἡ ψυχὴ καθ' ἑαυτὴν ὡς ἄφθαρτος, οὐδ' οὕτως ἕξει χώραν ἡ κατ' αὐτῆς κρίσις, μὴ προσούσης δικαιοσύνης. ἐπειδὴ μηδὲ θεμιτὸν ὑπολαμβάνειν ἐκ θεοῦ καὶ παρὰ θεοῦ γίνεσθαί τινα κρίσιν, ᾗ μὴ πρόσεστι τὸ δίκαιον. οὐ πρόσεστι δὲ τῇ κρίσει τὸ δίκαιον, μὴ σωζομένου τοῦ διαπραξαμένου τὴν δικαιοσύνην ἢ τὴν ἀνομίαν. ὁ γὰρ διαπραξάμενος ἕκαστον τῶν κατὰ τὸν βίον ἐφ' οἷς ἡ κρίσις, ἄνθρωπος ἦν, οὐ ψυχὴ καθ' ἑαυτήν. τὸ δὲ σύμπαν εἰπεῖν, ὁ λόγος οὗτος ἐπ' οὐδενὸς φυλάξει τὸ δίκαιον.

(§. 21.) Κατορθωμάτων τε γὰρ τιμωμένων, ἀδικηθήσεται τὸ σῶμα σαφῶς, ἐκ τοῦ κοινωνῆσαι μὲν τῇ ψυχῇ τῶν ἐπὶ τοῖς σπουδαζομένοις πόνων, μὴ κοινωνῆσαι δὲ τῆς ἐπὶ τοῖς κατορθωθεῖσι τιμῆς, καὶ συγγνώμης μὲν τυγχάνειν πολλάκις τὴν ψυχὴν ἐπί τινων πλημμελημάτων, διὰ τὴν τοῦ σώματος ἔνδειάν τε καὶ χρείαν, ἐκπίπτειν δὲ αὐτὸ τὸ σῶμα τῆς ἐπὶ τοῖς κατορθωθεῖσι κοινωνίας, ὑπὲρ ὧν τοὺς ἐν τῇ ζωῇ

ζωῇ συνδιήνεγκε πόνους. καὶ μὴν καὶ πλημμελημάτων κρινομένων οὐ σώζεται τῇ ψυχῇ τὸ δίκαιον; εἴγε μόνη τίνοι δίκην ὑπὲρ ὧν ἐνοχλοῦντος τοῦ σώματος, καὶ πρὸς τὰς οἰκείας ὀρέξεις ἢ κινήσεις ἕλκοντος, ἐπλημμέλησεν· ποτὲ μὲν κατὰ συναρπαγὴν καὶ κλοπὴν, ποτὲ δὲ κατά τινα βιαιοτέραν ὁλκὴν, ἄλλοτε κατὰ συνδρομὴν, ἐν χάριτος μέρει καὶ θεραπείας τῆς τούτου συστάσεως. ἢ πῶς οὐκ ἄδικον, τὴν ψυχὴν κρίνεσθαι καθ' ἑαυτὴν ὑπὲρ ὧν οὐδ' ἡντινοῦν ἔχει, κατὰ τὴν ἑαυτῆς φύσιν, οὐκ ὄρεξιν, οὐ κίνησιν, οὐχ ὁρμήν· οἷον λαγνείας, ἢ βίας, ἢ πλεονεξίας, ἢ ἀδικίας, καὶ τῶν ἐπὶ τούτοις ἀδικημάτων; εἰ γὰρ τὰ πλεῖστα τῶν τοιούτων γίνεται κακῶν ἐκ τοῦ μὴ κατακρατεῖν τοὺς ἀνθρώπους τῶν ἐνοχλούντων παθῶν· ἐνοχλοῦνται δὲ ὑπὸ τῆς τοῦ σώματος ἐνδείας καὶ χρείας, καὶ τῆς περὶ τοῦτό σπουδῆς καὶ θεραπείας· (τούτων γὰρ ἕνεκεν πᾶσα ἡ κτῆσις, καὶ πρὸ ταύτης ἡ χρῆσις· ἔτι δὲ γάμος, καὶ ὅσαι κατὰ τὸν βίον πράξεις, ἐν οἷς καὶ περὶ ἃ θεωρεῖται τό, τε πλημμελὲς, καὶ τὸ μὴ τοιοῦτον·) ποῦ δίκαιον, ἐν οἷς πρωτοπαθεῖ τὸ σῶμα καὶ τὴν ψυχὴν ἕλκει πρὸς συμπάθειαν καὶ κοινωνίαν τῶν ἐφ' ἃ δεῖται πράξεων, αὐτὴν κρίνεσθαι μόνην; καὶ τὰς μὲν ὀρέξεις καὶ τὰς ἡδονὰς, ἔτι δὲ φόβους καὶ λύπας, ἐφ' ὧν πᾶν τὸ μὴ μέτριον, ὑπόδικον, ἀπὸ τοῦ σώματος ἔχειν τὴν κίνησιν· τὰς δὲ ἐκ τούτων ἁμαρτίας καὶ τὰς ἐπὶ τοῖς ἡμαρτημένοις τιμωρίας ἐπὶ τὴν ψυχὴν φέρεσθαι μόνην, τὴν μήτε δεομένην τοιούτου τινὸς, μήτε ὀρεγομένην, μήτε φοβουμένην, ἢ πάσχουσάν τι τοιοῦτον καθ ἑαυτὴν, οἷον πάσχειν πέφυκεν ἄνθρωπος; ἀλλὰ κἂν μὴ μόνου τοῦ

σώ-

σώματος, ἀνθρώπου δὲ θῶμεν εἶναι τὰ πάθη, λέγοντες ὀρθῶς, διὰ τὸ μίαν ἐξ ἀμφοτέρων εἶναι τὴν τούτου ζωὴν, οὐ δήπου γε καὶ τῇ ψυχῇ ταῦτα προσήκειν φήσομεν, ὁπόταν καθαρῶς τὴν ἰδίαν αὐτῆς ἐπισκοπῶμεν φύσιν. εἰ γὰρ πάσης καθάπαξ τροφῆς ἐστιν ἀνενδεὴς, οὐκ ἂν ὀρεχθείη ποτὲ τουτων, ὧν οὐδαμῶς δεῖται πρὸς τὸ εἶναι, οὔτ' ἂν ὁρμήσειεν ἐπί τι τούτων οἷς μηδ' ὅλως χρῆσθαι πέφυκεν· ἀλλ' οὐδ' ἂν λυπηθείη δι' ἀπορίαν χρημάτων ἢ κτημάτων ὡς οὐδὲν αὐτῇ προσηκόντων. εἰ δὲ καὶ φθορᾶς ἐστι κρείττων, οὐδὲν φοβεῖται τὸ παράπαν, ὡς φθαρτικὸν ἑαυτῆς. οὐ γὰρ δέδοικεν οὐ λιμὸν, οὐ νόσον, οὐ πήρωσιν, οὐ λώβην, οὐ πῦρ, οὐ σίδηρον· ἐπεὶ μηδὲ παθεῖν ἐκ τούτων δύναταί τι βλαβερὸν, οὔτ' ἀλγεινὸν, οὐχ ἁπτομένων αὐτῆς τὸ παράπαν οὔτε σωμάτων, οὔτε σωματικῶν δυνάμεων. εἰ δὲ τὸ τὰ πάθη ταῖς ψυχαῖς ἰδιαζόντως προσάπτειν ἄτοπον, τὸ τὰς ἐκ τούτων ἁμαρτίας καὶ τὰς ἐπὶ ταύταις τιμωρίας ἐπὶ μόνας φέρειν τὰς ψυχὰς, ὑπερβαλλόντως ἄδικον καὶ τῆς τοῦ θεοῦ κρίσεως ἀνάξιον.

(§. 22.) Πρὸς δὲ τοῖς εἰρημένοις, πῶς οὐκ ἄτοπον τὴν μὲν ἀρετὴν καὶ τὴν κακίαν μηδὲ νοηθῆναι δύνασθαι χωρὶς ἐπὶ τῆς ψυχῆς· (ἀνθρώπου γὰρ ἀρετὰς εἶναι γινώσκομεν τὰς ἀρετὰς, ὥσπεροῦν καὶ τὴν ταύταις ἀντικειμένην κακίαν, οὐ ψυχῆς κεχωρισμένης τοῦ σώματος, καὶ καθ' ἑαυτὴν οὔσης·) τὴν δ' ἐπὶ τούτοις τιμὴν ἢ τιμωρίαν ἐπὶ μόνης φέρεσθαι τῆς ψυχῆς; ἢ πῶς ἄν τις καὶ νοήσειεν ἐπὶ ψυχῆς μόνης ἀνδρείαν, ἢ καρτερίαν, οὐκ ἐχούσης οὐ θανάτου φόβον, οὐ τραύματος, οὐ πηρώσεως, οὐ ζημίας, οὐκ αἰκίας, οὐ τῶν

ἐπὶ τούτοις ἀλγημάτων, ἢ τῆς ἐκ τούτων κακοπαθείας; πῶς δὲ ἐγκράτειαν καὶ σωφροσύνην, οὐδεμίας ἑλκούσης αὐτὴν ἐπιθυμίας πρὸς τροφὴν, ἢ μίξιν, ἢ τὰς ἄλλας ἡδονάς τε καὶ τέρψεις, οὐδ᾽ ἄλλου τινὸς, οὔτ᾽ ἔσωθεν ἐνοχλοῦντος, οὔτ᾽ ἔξωθεν ἐρεθίζοντος; πῶς δὲ φρόνησιν, οὐχ ὑποκειμένων αὐτῇ πρακτέων, οὔθ᾽ αἱρετῶν καὶ φευκτῶν· μᾶλλον δὲ μηδεμιᾶς ἐνούσης αὐτῇ κινήσεως τὸ παράπαν, ἢ φυσικῆς ὁρμῆς ἐπί τι τῶν πρακτέων; ποῦ δὲ ὅλως ψυχαῖς ἡ πρὸς ἀλλήλας δικαιοσύνη προσφυὴς, ἢ πρὸς ἄλλο τί τῶν ὁμογενῶν ἢ ἑτερογενῶν, οὐκ ἐχούσαις οὔτε πόθεν, οὔτε δι᾽ ὧν, οὔτε πῶς ἀπονείμωσι τὸ κατ᾽ ἀξίαν ἢ κατ᾽ ἀναλογίαν ἴσον, ἐξῃρημένης τῆς εἰς θεὸν τιμῆς· οὐδ᾽ ἄλλως ἐχούσαις ὁρμὴν ἢ κίνησιν πρὸς χρῆσιν ἰδίων, ἢ πρὸς ἀποχὴν τῶν ἀλλοτρίων· τῆς μὲν χρήσεως τῶν κατὰ φύσιν, ἢ τῆς ἀποχῆς ἐπὶ τῶν χρῆσθαι πεφυκότων θεωρουμένης· τῆς δὲ ψυχῆς, μήτε δεομένης τινὸς, μήτε χρῆσθαι τισὶν ἤ τινι πεφυκυίας. καὶ διὰ τοῦτο μήτε τῆς λεγομένης ἰδιοπραγίας τῶν μερῶν ἐπὶ τῆς οὕτως ἐχούσης ψυχῆς εὑρεθῆναι δυναμένης.

(§. 23.) Καὶ μὴν κἀκεῖνο πάντων παραλογώτατον, τὸ τοὺς μὲν θεσπισθέντας νόμους ἐπ᾽ ἀνθρώπους φέρειν. τῶν δὲ νομίμως ἢ παρανόμως πεπραγμένων τὴν δίκην ἐπὶ μόνας τρέπειν τὰς ψυχάς. εἰ γὰρ ὁ τοὺς νόμους δεξάμενος, οὗτος δέξαιτ᾽ ἂν δικαίως καὶ τῆς παρανομίας τὴν δίκην, ἐδέξατο δὲ τοὺς νόμους ἄνθρωπος, οὐ ψυχὴ καθ᾽ ἑαυτὴν, ἄνθρωπον δεῖ καὶ τὴν ὑπὲρ τῶν ἡμαρτημένων ὑποσχεῖν δίκην, οὐ ψυχὴν καθ᾽ ἑαυτήν. ἐπεὶ μὴ ψυχαῖς ἐθέσπισε θεὸς ἀπέχεσθαι τῶν οὐδὲν αὐταῖς προσηκόντων, οἷον μοι-

χείας,

χείας, φόνου, κλοπῆς, ἁρπαγῆς, τῆς κατὰ τῶν γεννησάντων ἀτιμίας, πάσης τε κοινῶς τῆς ἐπ' ἀδικίᾳ καὶ βλάβῃ τῶν πέλας γινομένης ἐπιθυμίας. οὔτε γὰρ τὸ, τίμα τὸν πατέρα σοῦ καὶ τὴν μητέρα, ψυχαῖς μόνον εὐάρμοστον, οὐ προσηκόντων αὐταῖς τῶν τοιούτων ὀνομάτων· οὐ γὰρ ψυχαὶ ψυχὰς γεννῶσαι, τὴν τοῦ πατρὸς ἢ τῆς μητέρος οἰκειοῦνται προσηγορίαν, ἀλλ' ἀνθρώπους ἄνθρωποι. οὔτε οὖν τὸ οὐ μοιχεύσῃς, ἐπὶ ψυχῶν λεχθείη ποτ' ἂν ἢ νοηθείη δεόντως, οὐκ οὔσης ἐν αὐταῖς τῆς κατὰ τὸ ἄρσεν καὶ θῆλυ διαφορᾶς, οὐδὲ πρὸς μίξιν τινὸς ἐπιτηδειότητος, ἢ πρὸς ταύτην ὀρέξεως. ὀρέξεως δὲ τοιαύτης οὐκ οὔσης, οὐδε μίξιν εἶναι δυνατόν· παρ' οἷς δὲ μίξις οὐκ ἔστιν, ὅλως οὐδὲ ἔνθεσμος μίξις, ὅπέρ ἐστιν ὁ γάμος. ἐννόμου δὲ μίξεως οὐκ οὔσης, οὐδὲ τὴν παράνομον καὶ τὴν ἐπ' ἀλλοτρίᾳ γυναικὶ γινομένην ὄρεξιν ἢ μίξιν εἶναι δυνατόν. τοῦτο γάρ ἐστι μοιχεία. ἀλλ' οὐδὲ τὸ κλοπὴν ἀπαγορεύειν, ἢ τὴν τοῦ πλείονος ἐπιθυμίαν, ψυχαῖς προσφυές· οὐδὲ γὰρ δέονται τούτων, ὧν οἱ δεόμενοι, διὰ τὴν φυσικὴν ἔνδειαν ἢ χρείαν, κλέπτειν εἰώθασιν, ἢ λῃστεύειν οἷον χρυσὸν, ἢ ἄργυρον, ἢ ζῶον· ἢ ἄλλο τι τῶν πρὸς τροφὴν ἢ σκέπην ἢ χρῆσιν ἐπιτηδείων. ἀχρεῖον γὰρ ἀθανάτῳ φύσει πᾶν ὁπόσον τοῖς ἐνδεέσιν ὀρεκτὸν, ὡς χρήσιμον. ἀλλ' ὁ μὲν ἐντελέστερος περὶ τούτων λόγος ἀφείσθω τοῖς σπουδαιότερον ἕκαστον σκοπεῖν βουλομένοις, ἢ φιλοτιμότερον διαγωνίζεσθαι πρὸς τοὺς διαφερομένους. ἡμῖν δὲ ἀρκούντων τῶν ἀρτίως εἰρημένων καὶ τῶν συμφώνως τούτοις τὴν ἀνάστασιν πιστουμένων, τὸ τοῖς αὐτοῖς ἐπὶ πλεῖον ἐνδιατρίβειν, οὐκ ἔτ' ἂν ἔχοι καιρόν. οὐ γὰρ τὸ μηδὲν παραλιπεῖν

τῶν

τῶν ἐνόντων εἰπεῖν, πεποιήμεθα σκοπὸν, ἀλλὰ τὸ κεφαλαιωδῶς ὑποδεῖξαι τοῖς συνελθοῦσιν ἃ χρὴ περὶ ἀναστάσεως φρονεῖν, καὶ τῇ δυνάμει τῶν παρόντων συμμετρῆσαι τὰς ἐπὶ τοῦτο φερούσας ἀφορμάς.

(§. 24.) Ἐξητασμένων δὲ ποσῶς τῶν προτεθέντων, ὑπόλοιπον ἂν εἴη καὶ τὸν ἀπὸ τοῦ τέλους διασκέψασθαι λόγον, ἤδη μὲν τοῖς εἰρημένοις ἐμφαινόμενον, τοσαύτης δὲ μόνον ἐπιστασίας καὶ προσθήκης δεόμενον, ὡς μὴ δοκεῖν τι τῶν μικρὸν εἰρημένων ἡμῖν ἀμνημόνευτον καταλιπεῖν, καὶ παραβλάψαι τὴν ὑπόθεσιν, ἢ τὴν ἐξ ἀρχῆς γενομένην διαίρεσιν. τούτων τε οὖν ἕνεκεν καὶ τῶν ἐπὶ τούτοις ἐγκεισομένων, καλῶς ἂν ἔχοι τοσοῦτον ἐπισημήνασθαι μόνον, ὅτι δεῖ καὶ τῶν ἐκ φύσεως συνισταμένων, καὶ τῶν κατὰ τέχνην γινομένων οἰκεῖον ἑκάστου τέλος εἶναι, τοῦ τρόπου, καὶ τῆς κοινῆς πάντων ἐννοίας ἐκδιδασκούσης ἡμᾶς, καὶ τῶν ἐν ὀφθαλμοῖς στρεφομένων ἐπιμαρτυρούντων. ἢ γὰρ οὐ θεωροῦμεν ἕτερόν τι τοῖς γεωργοῦσιν, ἕτερον δὲ τοῖς ἰατρεύουσιν ὑποκείμενον τέλος· καὶ πάλιν ἄλλο μέν τι τῶν ἐκ γῆς φυομένων, ἄλλο δὲ τῶν ἐπ' αὐτῆς τρεφομένων, ζώων, καὶ κατά τινα φυσικὸν εἱρμὸν γεννωμένων; εἰ δὲ τοῦτ' ἔστιν ἐναργὲς, καὶ δεῖ πάντως ταῖς φυσικαῖς ἢ τεχνικαῖς δυνάμεσι, καὶ ταῖς ἐκ τούτων ἐνεργείαις τὸ κατὰ φύσιν ἕπεσθαι τέλος, ἀνάγκη πᾶσα καὶ τὸ τῶν ἀνθρώπων τελος, ὡς ἰδιαζούσης ὂν φύσεως, ἐξῃρῆσθαι τῆς τῶν ἄλλων κοινόνητος, ἐπεὶ μηδὲ θεμιτὸν ταυτὸν ὑποθέσθαι τέλος τῶν τε λογικῆς κρίσεως ἀμοιρούντων καὶ τῶν κατὰ τὸν ἔμφυτον νόμον καὶ λόγον ἐνεργούντων, ἔμφρονί τε ζωῇ καὶ δίκῃ χρωμένων. οὔτ' οὖν τὸ ἄλυπον,

που, οἰκεῖον τοῦτ' ἂν εἴη τέλος· (μετείη γὰρ ἂν τούτου καὶ τοῖς παντελῶς ἀναισθητοῦσιν·) ἀλλ' οὐδὲ τῶν τὸ σῶμα τρεφόντων ἢ τερπόντων ἀπόλαυσις, καὶ πλῆθος ἡδονῶν· (ἢ πρωτεύειν ἀνάγκη τὸν κτηνώδη βίον, ἀτελῆ δὲ εἶναι τὸν κατ' ἀρετήν. κτηνῶν γὰρ οἶμαι καὶ βοσκημάτων οἰκεῖον τουτο τέλος, οὐκ ἀνθρώπων ἀθανάτῳ ψυχῇ καὶ λογικῇ κρίσει χρωμένων.)

(§. 25.) Οὐ μὴν οὐδὲ μακαριότης ψυχῆς κεχωρισμένης σώματος· οὐδὲ γὰρ τὴν θατέρου τούτων ἐξ ὧν συνέστηκεν ἄνθρωπος ἐπισκοποῦμεν ζωὴν, ἢ τέλος, ἀλλὰ τοῦ συνεστῶτος ἐξ ἀμφοῖν. τοιοῦτος γὰρ πᾶς ὁ τόνδε λαχὼν τὸν βίον ἄνθρωπος, καὶ δεῖ τῆς τούτου ζωῆς εἶναί τι τέλος οἰκεῖον. εἰ δὲ τοῦ συναμφοτέρου τὸ τέλος, τοῦτο δὲ οὔτε ζώντων αὐτῶν ἔτι κατὰ τόνδε τὸν βίον εὑρεθῆναι δυνατὸν, διὰ τὰς πολλάκις ἤδη ῥηθείσας αἰτίας· οὔτε μὴν ἐν χωρισμῷ τυγχανούσης τῆς ψυχῆς, τῷ μηδὲ συνεστάναι τὸν τοιοῦτον ἄνθρωπον, διαλυθέντος ἢ καὶ πάντη σκεδασθέντος τοῦ σώματος, κἂν ἡ ψυχὴ διαμένῃ καθ' ἑαυτήν· ἀνάγκη πᾶσα κατ' ἄλλην τινὰ τοῦ συναμφοτέρου καὶ τοῦ αὐτοῦ ζώου σύστασιν, τὸ τῶν ἀνθρώπων φανῆναι τέλος. τούτου δ' ἐξ ἀνάγκης ἑπομένου, δεῖ πάντως γενέσθαι τῶν νεκρωθέντων ἢ καὶ πάντη διαλυθέντων σωμάτων ἀνάστασιν, καὶ τοὺς αὐτοὺς ἀνθρώπους συστῆναι πάλιν. ἐπειδή γε τὸ μὲν τέλος οὐχ ἁπλῶς, οὐδὲ τῶν ἐπιτυχόντων ἀνθρώπων ὁ τῆς φύσεως τίθεται νόμος· ἀλλ' αὐτων ἐκείνων τῶν κατὰ τὴν προλαβοῦσαν ζωὴν βεβιωκότων. τοὺς δ' αὐτοὺς ἀνθρώπους συστῆναι πάλιν, ἀμήχανον, μὴ τῶν αὐτῶν σωμάτων ταῖς ψυχαῖς αὐταῖς ἀποδοθέντων.

τὸ δ' αὐτὸ σῶμα τὴν αὐτὴν ψυχὴν ἀπολαβεῖν, ἄλλως μὲν ἀδύνατον, κατὰ μόνην δὲ τὴν ἀνάστασιν δυνατόν. ταύτης γὰρ γινομένης καὶ τὸ τῇ φύσει τῶν ἀνθρώπων πρόσφορον ἐπακολουθεῖ τέλος. τέλος δὲ ζωῆς ἔμφρονος καὶ λογικῆς κρίσεως οὐκ ἂν ἁμάρτοι τὶς εἰπὼν τὸ τούτοις ἀπερισπάστως συνδιαιωνίζειν, οἷς μάλιστα καὶ πρώτως ὁ φυσικὸς συνήρμοσται λόγος, τῇ τε θεωρίᾳ τοῦ ὄντος καὶ τῶν ἐκείνῳ δεδογμένων ἀπαύστως ἐπαγάλλεσθαι· κἂν οἱ πολλοὶ τῶν ἀνθρώπων ἐμπαθέστερον καὶ σφοδρότερον τοῖς τῇ δὲ προπεπονθότες, ἄστοχοι τούτου διατελῶσιν. οὐ γὰρ ἀκυροῖ τὴν κοινὴν ἀποκλήρωσιν τὸ πλῆθος τῶν ἀποπιπτόντων τοῦ προσήκοντος αὐτοῖς τέλους, ἰδιαζούσης τῆς ἐπὶ τούτοις ἐξετάσεως, καὶ τῆς ἑκάστῳ συμμετρουμένης ὑπὲρ τῶν εὖ ἢ κακῶς βεβιωμένων τιμῆς ἢ δίκης.

V.

V.

E Clementis Alexandrini *Paedagogo.*

ΚΛΗΜΕΝΤΟΣ
ΤΟΥ
ΑΛΕΞΑΝΔΡΕΩΣ
ΠΑΙΔΑΓΩΓΟΣ.

---

§. 1. Paedagogus.

Τί ἐπαγγέλλεται ὁ Παιδαγωγός.

ΤΡΙΩΝ *γέ τοι τούτων περὶ τὸν ἄνθρωπον ὄντων, ἠθῶν, πράξεων, παθῶν, ὁ προτρεπτικὸς εἴληχε τὰ ἤθη αὐτοῦ, θεοσεβείας καθηγεμὼν, ὁ τροπιδίου δίκην ὑποκείμενος λόγος εἰς οἰκοδομὴν πίστεως· ἐφ᾽ ᾧ μάλα γαννύμενοι, καὶ τὰς παλαιὰς ἀπομνύμενοι δόξας, πρὸς σωτηρίαν νεάζομεν, ψαλλούσῃ συνᾴδοντες προφητείᾳ· Ως ἀγαθὸς τῷ Ισραὴλ ὁ Θεὸς, τοῖς*

τοῖς εὐθέσι τῇ καρδίᾳ; πράξεών τε ἁπασῶν ὁ λόγος ἐπιστατεῖ ὁ ὑποθετικός· τὰ δὲ πάθη, ὁ παραμυθητικὸς ἰᾶται· εἷς ὢν πᾶς ὁ αὐτὸς οὗτος λόγος, τῆς συντρόφου καὶ κοσμικῆς συνηθείας ἐξαρπάζων τὸν ἄνθρωπον, εἰς δὲ τὴν μονότροπον τῆς εἰς Θεὸν πίστεως σωτηρίαν παιδαγωγῶν. ὁ γοῦν οὐράνιος ἡγεμὼν, ὁ Λόγος, ὁπηνίκα μὲν ἐπὶ σωτηρίαν παρεκάλει, προτρεπτικὸς ὄνομα αὐτῷ ἦν· ἰδίως οὗτος παρορμητικὸς, ἐκ μέρους τὸ πᾶν, προσαγορευόμενος λόγος· προτρεπτικὴ γὰρ ἡ πᾶσα θεοσέβεια, ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης ὄρεξιν ἐγγεννῶσα τῷ συγγενεῖ λογισμῷ. νυνὶ δὲ θεραπευτικός τε ὢν καὶ ὑποθετικός ἅμα ἄμφω, ἑπόμενος αὐτὸς αὐτῷ, παραινεῖ τὸ προτετραμμένον κεφάλαιον, τῶν ἐν ἡμῖν παθῶν ὑπισχνούμενος τὴν ἴασιν. κεκλήσθω δ' ἡμῖν ἑνὶ προσφυῶς οὗτος' ὀνόματι Παιδαγωγός' πρακτικὸς, οὐ μεθοδικὸς ὢν ὁ Παιδαγωγός· ᾗ καὶ τὸ τέλος αὐτοῦ βελτιῶσαι τὴν ψυχήν ἐστιν, οὐ διδάξαι· σώφρονός τε, οὐκ ἐπιστημονικοῦ καθηγήσασθαι βίου. καί τοι καὶ διδασκαλικὸς ὁ αὐτός ἐστι λόγος, ἀλλ' οὐ νῦν. ὁ μὲν γὰρ ἐν τοῖς δογματικοῖς δηλωτικὸς καὶ ἀποκαλυπτικὸς, ὁ διδασκαλικός. πρακτικὸς δὲ ὢν ὁ Παιδαγωγὸς, πρότερον μὲν εἰς διάθεσιν ἠθοποιΐας προὐτρέψατο· ἤδη δὲ καὶ εἰς τὴν τῶν δεόντων ἐνέργειαν παρακαλεῖ, τὰς ὑποθήκας τὰς ἀκηράτους παρεγγυῶν, καὶ τῶν πεπλανημένων πρότερον τοῖς ὕστερον ἐπιδεικνὺς τὰς εἰκόνας. ἄμφω δὲ ὠφελιμώτατα· τὸ μὲν, εἰς ὑπακοὴν, τὸ παραινετικὸν εἶδος. τὸ δὲ, ἐν εἰκόνος μέρει παραλαμβανόμενον, διττὸν καὶ αὐτὸ, παραπλησίως τῇ προτέρᾳ συζυγίᾳ· τὸ μὲν αὐτοῦ, ἵνα μιμώμεθα, αἱρούμενοι τὸ ἀγαθόν· τὸ δὲ,

ὅπως

ὅπως ἐκτρεπώμεθα, παραιτούμενοι τὸ θάτερον. Ἴασις οὖν τῶν παθῶν ἐνθένδε ἕπεται κατὰ τὰς παραμυθίας τῶν εἰκόνων, ἐπιῤῥωννύντος τοῦ Παιδαγωγοῦ τὰς ψυχὰς, καθάπερ ἠπίοις Φαρμάκοις, ὑποθήκαις Φιλανθρώποις εἰς τὴν παντελῆ τῆς ἀληθείας γνῶσιν τοὺς κάμνοντας διαιτωμένου. Ἴσαι δ' οὐκ ἔστον ὑγίεια καὶ γνῶσις· ἀλλ' ἡ μὲν, μαθήσει· ἡ δὲ, ἰάσει περιγίνεται. οὐκ ἂν οὖν τὶς νοσῶν ἔτι πρότερόν τι τῶν διδασκαλικῶν ἐκμάθοι, πρὶν ἢ τέλεον ὑγιᾶναι· οὐδὲ γὰρ ὡσαύτως πρὸς τοὺς μανθάνοντας ἢ κάμνοντας ἀεὶ τῶν παραγγελμάτων ἕκαστον λέγεται, ἀλλὰ πρὸς οὓς μὲν, εἰς γνῶσιν· πρὸς οὓς δὲ, εἰς ἴασιν. καθάπερ οὖν τοῖς νοσοῦσι τὸ σῶμα ἰατροῦ χρήζει· ταύτῃ καὶ τοῖς ἀσθενοῦσι τὴν ψυχὴν παιδαγωγοῦ δεῖ, ἵν' ἡμῶν ἰάσηται τὰ πάθη· εἶτα δὲ εἰς διδασκάλου, ὃς καθηγήσεται καθαρὰν πρὸς γνώσεως ἐπιτηδειότητα εὐτρεπίζων τὴν ψυχὴν, δυναμένην χωρῆσαι τὴν ἀποκάλυψιν τοῦ λογου. σπεύδων δὲ ἄρα τελειῶσαι σωτηρίῳ ἡμᾶς βαθμῷ καταλλήλῳ εἰς παίδευσιν ἐνεργῆ, τῇ καλῇ συγχρῆται οἰκονομίᾳ ὁ πάντα Φιλάνθρωπος Λόγος, προτρέπων ἄνωθεν, ἔπειτα παιδαγωγῶν, ἐπὶ πᾶσιν ἐκδιδάσκων.

§. 7. Τίς ὁ Παιδαγωγός· καὶ περὶ τῆς Παιδαγωγίας αὐτοῦ.

ΕΠΕΙ τοίνυν ἀπεδείξαμεν παῖδας ἡμᾶς τοὺς πάντας ὑπὸ τῆς γραΦῆς καλουμένους, οὐ μόνον ἀλλὰ καὶ τοὺς Χριστῷ κατηκολουθηκότας ἡμᾶς νηπίους ἀλληγορουμένους, μόνον δὲ εἶναι τέλειον τὸν Πατέρα τῶν ὅλων· ἐν αὐτῷ γὰρ ὁ Υἱὸς, καὶ ἐν τῷ Υἱῷ ὁ

Πατήρ· ὥρα ἡμῖν, ἑπομένοις τῇ τάξει, καὶ τὸν Παιδαγωγὸν ἡμῶν εἰπεῖν, ὅστις ἐστί. καλεῖται δὲ Ιησοῦς. ἔσθ' ὅτε οὖν ποιμένα ἑαυτὸν καλεῖ, καὶ λέγει, Εγώ εἰμι ὁ ποιμὴν ὁ καλός· κατὰ μεταφορὰν ἀπὸ τῶν ποιμένων τῶν καθηγουμένων τοῖς προβάτοις, ὁ καθηγούμενος τῶν παιδίων, παιδαγωγὸς νοούμενος· ὁ τῶν νηπίων κηδεμονικὸς ποιμήν· ἁπλοῖ γὰρ οἱ νήπιοι, ὡς πρόβατα ἀλληγορούμενοι· Καὶ γενήσονται, φησὶν, οἱ πάντες, μία ποίμνη, καὶ εἷς ποιμήν. Παιδαγωγὸς οὖν εἰκότως ὁ Λόγος, ὁ τοὺς παῖδας ἡμᾶς εἰς σωτηρίαν ἄγων. ἐναργέστατα γοῦν ὁ Λόγος περὶ ἑαυτοῦ διὰ Ωσηὲ εἴρηκεν· Εγὼ δὲ παιδευτὴς ὑμῶν εἰμί. Παιδαγωγία δὲ ἡ θεοσέβεια, μάθησις οὖσα Θεοῦ θεραπείας, καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας· ἀγωγή τε ὀρθὴ, ἀνάγουσα εἰς οὐρανόν. Παιδαγωγία δὲ καλεῖται πολλαχῶς· καὶ γὰρ ἡ τοῦ ἀγομένου καὶ μανθάνοντος, καὶ ἡ τοῦ ἄγοντος καὶ διδάσκοντος· καὶ αὐτὴ τρίτον ἡ ἀγωγὴ, καὶ τὰ διδασκόμενα τέταρτον· οἷον αἱ ἐντολαί. Εστι δὲ ἡ κατὰ Θεὸν παιδαγωγία, κατευθυσμὸς ἀληθείας εἰς ἐποπτείαν Θεοῦ, καὶ πράξεων ἁγίων ὑποτύπωσις ἐν αἰωνίῳ διαμονῇ, ὥσπερ οὖν κατευθύνει τὴν φάλαγγα ὁ στρατηγὸς, τῆς σωτηρίας τῶν μισθοφόρων προμηθούμενος· καὶ ὡς ὁ κυβερνήτης οἰακίζει τὸ σκάφος, σώζειν προαιρούμενος τοὺς ἐμπλέοντας· οὕτως καὶ ὁ Παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν σωτήριον δίαιταν, τῆς ἡμῶν αὐτων ἕνεκεν κηδεμονίας· καὶ καθόλου, ὁπόσα ἂν παρὰ τοῦ Θεοῦ εὐλόγως αἰτήσαιμεν ἡμῖν γενέσθαι, ταῦτα πειθομένοις τῷ Παιδαγωγῷ περίεσται. Ονπερ οὖν τρόπον ὁ κυβερνήτης οὐκ αἰεὶ τοῖς ἀνέμοις ὑπείκει, ἀντίπρωρος δὲ

ἔσθ'

ἔσθ' ὅτε ὅλαις ἀνθίσταται καταιγίσιν· οὕτως ὁ Παιδαγωγὸς οὐχὶ τοῖς ἐν τῷ κόσμῳ τῷδε καταπνέουσι νόμοις ὑπείκει ποτὲ, οὐδὲ ἐπιτρέπει αὐτοῖς τὸ παιδίον, ὥςπερ σκάφος, εἰς θηριώδη καὶ ἀσελγῆ προςρῆξαι δίαιταν· μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι ἔπουρος ἀρθεὶς, ἀντέχεται μάλα ἐῤῥωμένως τῶν οἰάκων τοῦ παιδὸς, τῶν ὤτων λέγω· ἕως ἂν ἀβλαβὲς καθορμίσῃ τὸ παιδίον εἰς τὸν λιμένα τῶν οὐρανῶν. τὸ μὲν γὰρ πάτριον καλούμενον πὰρ αὐτοῖς ἔθος, ὅσον οὐδέπω παρέρχεται· ἡ δὲ ἀγωγὴ ἡ θεία, κτῆμά ἐστιν εἰς ἀεὶ παραμένον. Αχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοίνικα φασὶ γεγονέναι, καὶ τῶν Κροίσου παίδων, Αδραστον· Αλεξάνδρου δὲ, Λεωνίδην· καὶ Φιλίππου, Ναυσίθοον. ἀλλ' ὁ μὲν γυναικομανὴς, ὁ Φοῖνιξ, ἦν· ὁ δὲ φυγὰς, ὁ Αδραστος, ἦν· Λεωνίδης δὲ οὐ περιεῖλεν τὸν τῦφον τοῦ Μακεδόνος· οὐδὲ Ναυσίθοος μεθύοντα τὸν ἐκ Πέλλης ἰάσατο· Αλκιβιάδου δὲ τὸν πορνείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος· ἀλλ' ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος ἦν· καὶ τῶν Θεμιστοκλέους παίδων ὁ παιδαγωγὸς Σίκιννος, οἰκέτης ῥάθυμος ἦν. ὀρχεῖσθαί φασιν αὐτὸν καὶ σικιννίζειν εὑρηκέναι. Οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασίλειοι καλούμενοι παιδαγωγοί· οὓς τέτταρας τὸν ἀριθμὸν ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν, οἱ βασιλεῖς Περσῶν, τοῖς σφῶν αὐτῶν ἐφίστων παισίν· ἀλλὰ τοξεύειν μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν· ἡβήσαντες δὲ, ἀδελφαῖς, καὶ μητράσι, καὶ γυναιξὶ, γαμεταῖς τε ἅμα καὶ παλλακίσιν, ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι. Ο δὲ ἡμέτερος παιδαγωγὸς, ἅγιος Θεὸς Ιησοῦς, ὁ πάσης τῆς ἀνθρωπότητος καθηγεμὼν Λόγος· αὐ-

αὐτὸς ὁ Φιλάνθρωπος Θεός ἐστι παιδαγωγός. λέγει δὲ πευ διὰ τῆς ᾠδῆς τὸ Πνεῦμα τὸ ἅγιον εἰς αὐτόν· Αὐτάρκησε τὸν λαὸν ἐν τῇ ἐρήμῳ· ἐν δίψει καύματος, ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν, καὶ ἐπαίδευσεν αὐτὸν, καὶ διεφύλαξεν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς σκεπάσαι νεσσιὰν ἀυτοῦ· καὶ ἐπὶ τοῖς νεοσσοῖς ἀυτοῦ ἐπεπόθησεν· διεὶς τὰς πτέρυγας ἀυτοῦ, ἐδέξατο ἀυτοὺς, καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων ἀυτοῦ· Κύριος μόνος ἦγεν ἀυτοὺς, καὶ οὐκ ἦν μετ' αὐτῶν Θεὸς ἀλλότριος. σαφῶς, οἶμαι, τὸν παιδαγωγὸν ἐνδείκνυται ἡ γραφὴ, τὴν ἀγωγὴν αὐτοῦ διηγουμένη. Πάλιν δὴ ὅταν λέγῃ διὰ τοῦ ἰδίου προσώπου, ἑαύτὸν ὁμολογεῖ παιδαγωγόν· Εγὼ Κύριοις ὁ Θεός σοὺ, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου. Τίς οὖν ἔχει ἐξουσίαν τοῦ ἄγειν εἴσω τε καὶ ἔξω; οὐχὶ ὁ παιδαγωγός; οὗτος ὤφθη τῷ Αβραὰμ, καὶ εἶπεν ἀυτῷ· Εγώ εἰμι ὁ Θεός σοῦ, εὐαρέστει ἐνώπιόν μου· τοῦτον δὲ παιδαγωγικώτατα ὑποκατασκευάζει παῖδα πιστόν· Καὶ γίνου, φήσας, ἄμεμπτος· καὶ θήσω τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ, καὶ τοῦ σπέρματός σου. Φιλίας ἐνταῦθα ἐπιστατικῆς ἐστι κοινωνία. Τοῦ δὲ Ιακὼβ ἐναργέστατα παιδαγωγὸς εἶναι φαίνεται· λέγει γοῦν ἀυτῳ· Ιδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς· καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην· ὅτι οὐ μή σε ἐγκαταλίπω ἕως τοῦ ποιῆσαί με ὅσα ἐλάλησα σοι.

§. 1.

E Libro Secundo.

§. I. Πῶς περὶ τὰς τροφὰς ἀναστρεπτέον.

ΕΧΟΜΕΝΟΙΣ τοίνυν τοῦ σκοποῦ, καὶ τὰς γραφὰς πρὸς τὸ βιωφελὲς τῆς Παιδαγωγίας ἐκλεγομένοις, ὁποῖόν τινα εἶναι χρὴ παρ' ὅλον τὸν βίον τὸν Χριστιανὸν καλούμενον, κεφαλαιωδῶς ὑπογραπτέον. Αρκτέον οὖν ἡμῖν ἀφ' ἡμῶν αὐτῶν, καὶ ὅπως ἁρμόττειν γε χρή. στοχαζομένοις τοίνυν τῆς συμμετρίας τοῦ συντάγματος, ὁποῖόν τινα τῷ ἑαυτοῦ σώματι ἕκαστον ἡμῶν προσφέρεσθαι, μᾶλλον δὲ ὅπως αὐτὸ κατευθύνειν χρή, λεκτέον· ὁπόταν γάρ τις ἀπὸ τῶν ἐκτὸς, καὶ αὐτῆς ἔτι τῆς τοῦ σώματος ἀγωγῆς, ἐπὶ τὴν διάνοιαν ἀναχθεὶς ὑπὸ τοῦ Λόγου, τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ σπουδάζειν μὲν περὶ τὰ ἐκτός· τὸ δὲ ἴδιον τοῦ ἀνθρώπου, τὸ ὄμμα τῆς ψυχῆς, ἐκκαθαίρειν· ἁγνίζειν δὲ καὶ τὴν σάρκα αὐτῆς. ὁ γὰρ ἐκείνων καθαρῶς ἀπολυθεὶς, δι' ὧν ἔτι χοῦς ἐστι, τί ἂν ἄλλο προὐργιαίτερον ἑαυτοῦ ἔχοι, πρὸς τὸ ὁδῷ ἐλθεῖν ἐπὶ τὴν κατάληψιν τοῦ Θεοῦ; οἱ μὲν δὴ ἄλλοι ἄνθρωποι ζῶσιν ἵνα ἐσθίωσιν, ὥςπερ ἀμέλει καὶ τὰ ἄλογα ζῷα, Οἷς οὐδὲν ἀλλ' ἢ γαστήρ ἐστιν ὁ βίος· ἡμῖν δὲ ὁ Παιδαγωγὸς ἐσθίειν παραγγέλλει, ἵνα ζῶμεν. οὔτε γάρ ἔργον ἡμῖν ἡ τροφὴ, οὔτε σκοπὸς ἡδονή· ὑπὲρ δὲ τῆς ἐνταῦθα διαμονῆς, ἣν ὁ Λόγος εἰς ἀφθαρσίαν παιδαγωγεῖ· διὸ καὶ ἐκκρίνεται ἡ τροφή· ἁπλῆ δὲ αὕτη καὶ ἀπερίεργος ἀλήθεια, καταλλήλως ἁπλοῖς καὶ ἀπεριέργοις ἁρμόζουσα παιδίοις· ὡς ἂν εἰς τὸ ζῆν, οὐκ εἰς

τρυ-

τρυφὴν ἐπιτήδειος. τὸ δὲ ἐκ δυεῖν τὸ ζῆν τοῦτο, ὑγείας τε καὶ ἰσχύος, σύγκειται· οἷς μάλιστα κατάλληλον τῆς τροφῆς τὸ εὔκολον· εἴς τε τὰς ἀναδόσεις καὶ τὴν τοῦ σώματος κουφότητα χρησιμεῦον. ἐξ ὧν αὔξησίς τε καὶ ὑγεία, καὶ ἰσχὺς δικαία, οὐχὶ δὲ ἄδικος, ἢ σφαλερὰ καὶ ἀθλία, ὡς ἡ τῶν ἀθλητῶν ἐξ ἀναγκοφαγίας, περιγίνεται. αἱ μὲν οὖν πολυειδεῖς ποιότητες ἀποπτυστέαι, ποικίλας ἐντίκτουσαι βλάβας· καχεξίας σωμάτων, ἀνατροπὰς στομάχων, ἐκπορνευούσης τῆς γεύσεως διά τινος κακοδαίμονος τέχνης, τῆς ὀψαρτυτικῆς, καὶ τῆς ἀμφὶ τὰ πεμματα ματαιοτεχνίας. τροφὴν γὰρ τολμῶσι καλεῖν, τὴν ἐν τρυφαῖς ἐπιτήδευσιν, εἰς ἡδονὰς ἐπιβλαβεῖς ὀλισθαίνουσαν. Αντιφάνης δὲ, ὁ Δήλιος ἰατρὸς, καὶ μίαν τῶν νόσου αἰτιῶν ταύτην εἴρηκεν, τῶν ἐδεσμάτων τὴν πολυειδίαν· τῶν περὶ τὴν ἀλήθειαν δυσαρεστούντων, κενοδοξίᾳ ποικίλῃ τὸ σῶφρον τῆς διαίτης ἐξομνυμένων, καὶ τὰς διαποντίους πολυπραγμονούντων ἐδωδάς. κᾀμοι μὲν ἔλεος ὕπεισι τῆς νόσου· οἱ δὲ ἐξυμνεῖν οὐκ αἰσχύνονται τὰς σφετέρας ἡδυπαθείας, τὰς ἐν τῷ πορθμῷ Σικελικῷ σμυραίνας πολυπραγμονοῦντες· καὶ τὰς ἐγχέλεις τὰς Μαιανδρείους· καὶ τοὺς ἐν Μήλῳ ἐρίφους· καὶ τοὺς ἐν Σκιάθῳ κεστρεῖς· καὶ τὰς Πελωρίδας κόγχας· καὶ τὰ ὄστρεια τὰ Αβυδηνά· οὐ παραλείποντες δὲ τὰς ἐν Λιπάρᾳ μαινίδας, οὐδὲ τὴν γογγυλην τὴν Μαντινικήν· ἀλλὰ οὐδὲ τὰ παρὰ τοῖς Ασκραίοις τεῦτλα. κτένας τε ἐκζητοῦσι Μηθυμναίους· καὶ ψήττας Αττικάς· καὶ τὰς Δαφνίους κίχλας· Χελιδονίους τε ἰσχάδας, δι' ἃς εἰς Ελλάδα πεντακοσίαις ἅμα μυριάσιν ὁ κακοδαίμων ἐστείλατο Πέρσης.

ἐρ-

ὄρνεις ἐπὶ τούτοις συνωνοῦνται τοὺς ἀπὸ Φάσιδος· ἀτταγὰς Αἰγυπτίας· Μῆδον ταῶνα· ταῦτα τοῖς ἡδύσμασιν ἐξαλλάσσοντες οἱ γαστρίμαργοι, τοῖς ὄψοις ἐπικεχήνασιν· ὅσα τε χθὼν, πόντου τε βένθη, καὶ ἀέρος ἀμέτρητον εὖρος ἐκτρέφει, τῇ αὐτῶν ἐκποριζόμενοι λαιμαργίᾳ· σαγηνεύειν ἀτεχνῶς οἱ πλεονέκται καὶ πολυπράγμονες οὗτοι ἐοίκασιν εἰς ἡδυπάθειαν τὸν κόσμον, ταγήνοις σίζουσι περιηχούμενοι, ἀμφὶ τὴν Ἴγδην καὶ τὸν ἀλετρίβανον τὸν πάντα αὐτῶν κατατρίβοντες βίον οἱ παμφάγοι, καθάπερ τὸ πῦρ τῆς ὕλης ἐξεχόμενοι, ἀλλὰ καὶ τὴν εὔκολον βρῶσιν τὸν ἄρτον ἐκθηλύνουσιν, ἀποσήθοντες τοῦ πυροῦ τὸ τρόφιμον, ὡς τὸ ἀναγκαῖον τῆς τροφῆς, ὄνειδος γίνεσθαι ἡδονῆς. οὐκ ἔχει δὲ ὅρον παρὰ τοῖς ἀνθρώποις ἡ λιχνεία. καὶ γὰρ εἰς τὰ πέμματα καὶ τὰ μελίπηκτα, πρὸς δὲ καὶ εἰς τὰ τραγήματα ἐξώκειλεν, ἐπιδορπισμάτων πλῆθος εὑρίσκουσα, παντοδαπὰς θηρωμένη ποιότητας. Καί μοι δοκεῖ ὁ τοιοῦτος ἄνθρωπος οὐδὲν ἀλλ' ἢ γνάθος εἶναι· Μηδὲ ἐπιθύμει, φησὶν ἡ γραφὴ, τῶν ἐδεσμάτων τῶν πλουσίων· ταῦτα γὰρ ἔχεται βίου ψευδοῦς τε καὶ αἰσχροῦ· οἱ μὲν γὰρ ἐξέχονται τῶν ὄψων, ἃ μετ' ὀλίγον ἐκδέχεται κοπρών. ἡμῖν δὲ τοῖς θηρωμένοις τὴν βρῶσιν τὴν ἐπουράνιον, ἄρχειν ἀνάγκη τῆς ὑπὸ τὸν οὐρανὸν γαστρὸς, ἔτι τε μᾶλλον καὶ τῶν ταύτῃ προσφιλῶν, ἃ ὁ Θεὸς καταργήσει, φησὶν ὁ Ἀπόστολος· εἰκότως ἐπικαταρώμενος λαιμάργοις ἐπιθυμίαις· τὰ γὰρ βρώματα τῇ κοιλίᾳ, ἐξ ὧν ὁ σαρκικὸς ὄντως οὑτοσὶ καὶ φθοροποιὸς ἀπήρτηται βίος· ὃν ἀγάπην τινὲς τολμῶσι καλεῖν, ἀθύρῳ γλώττῃ κεχρημένοι, δειπνάρια τινὰ, κνίσσης καὶ ζωμῶν ἀποπνέοντα· τὸ καλὸν καὶ

σω-

σωτήριον ἔργον τοῦ Λογου, τὴν ἀγάπην τὴν ἡγιασμένην, κυθριδίοις καὶ ζωμοῦ ῥύσει καθυβρίζοντες· ποτῷ τε, καὶ τρυφῇ, καὶ καπνῷ βλασφημοῦντες τοὔνομα, σφάλλονται τῆς ὑπολήψεως, τὴν ἐπαγγελίαν τοῦ Θεοῦ δειπναρίοις ἐξωνεῖσθαι προσδοκήσαντες. τὰς μὲν γὰρ ἐπὶ τῆς εὐφροσύνης συναγωγὰς ἐγκαταλεγόμενοι καὶ αὐτοὶ, δειπνάριά τε, καὶ ἄριστα, καὶ δοχὰς, εἰκότως ἂν καλοῖμεν τὴν συνήλυσιν ταύτην, ἑπόμενοι λόγῳ· τὰς τοιαύτας δὲ ἑστιάσεις ὁ Κύριος ἀγάπας οὐ κέκληκεν. λέγει γοῦν· πῇ μὲν, Οταν κληθῇς εἰς γάμους, μὴ κατάκεισο εἰς τὴν προτοκλισίαν· ἀλλ' ὅταν κληθῇς, εἰς τὸν ἔσχατον τόπον ἀνάπιπτε· πῇ δὲ, Οταν ποιῇς ἄριστον ἢ δεῖπνον· καὶ πάλιν, Αλλ' ὅταν ποιῇς δοχὴν, κάλει τοὺς πτωχούς· ἐφ' ᾧ μάλιστα δεῖπνον ποιητέον. ἔτιτε, Ανθρωπός τις ἐποιησε δεῖπνον μέγαν, καὶ ἐκάλεσε πολλούς. ἀλλ' αἰσθάνομαι ὅθεν ἡ εὐπρόσωπος ἐῤῥύη τῶν δείπνων προσηγορία, ἀπὸ τῶν φαρύγγων, καὶ φοιτητὴς μανίας ἐπιδείπνων, κατὰ τὸν κωμικόν. ἔστι γὰρ ὡς ἀληθῶς τὰ πολλὰ τοῖς πολλοῖς τοῦ δείπνου χάριν. οὐ γὰρ που μεμαθήκασι τὸν Θεὸν παρασκευάσαι τῷ δημιουργήματι, τῷ ἀνθρώπῳ λέγω, σῖτα καὶ ποτὰ τοῦ σώζεσθαι χάριν, οὐχὶ δὲ τοῦ ἥδεσθαι· ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν βρωμάτων· πᾶν γὰρ τοὐναντιον, οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς, ἰσχυρότατοι εἰσι, καὶ ὑγιεινότατοι, καὶ γενναιότατοι· ὥς οἰκέται, δεσποτῶν· καὶ γεωργοὶ, κτητόρων· καὶ οὐ μόνον ῥωμαλεώτεροι, ἀλλὰ καὶ φρονιμώτεροι, ὡς φιλόσοφοι πλουσίων· οὐ γὰρ ἐπέχωσαν τὸν νοῦν ταῖς τροφαῖς· οὐδὲ ἠπάτησαν αὐτὸν ἡδοναῖς. ἀγά-

ἀγάπη δὲ τῷ ὄντι ἐπουράνιός ἐστι τροφή· ἑστίασις λογική· πάντα στέγει, πάντα ὑπομένει, πάντα ἐλπίζει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει· Μακάριος, ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· χαλεπώτατον δὲ πάντων πτωμάτων, τὴν ἄπτωτον ἀγάπην ἄνωθεν ἐξ οὐρανῶν ἐπὶ τοὺς ζωμοὺς ῥίπτεσθαι χαμαί. καὶ οἴει με δεῖπνον ἡγεῖσθαι τὸ καταργούμενον; Ἐὰν γὰρ, φησὶ, διαδῶ τὰ ὑπάρχοντά μου, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. ταύτης ὅλης ἀπήρτηται τῆς ἀγάπης ὁ Νόμος καὶ ὁ Λόγος· κᾂν ἀγαπήσῃς Κύριον τὸν Θεόν σου, καὶ τὸν πλησίον σου, ἐν οὐρανοῖς ἐστιν αὕτη ἡ ἐπουράνιος εὐωχία· ἡ δὲ ἐπίγειος, δεῖπνον κέκληται, ὡς ἐκ τῆς γραφῆς ἀποδέδεικται· δι' ἀγάπην μὲν γινόμενον τὸ δεῖπνον· ἀλλ' οὐκ ἀγάπη τὸ δεῖπνον· δεῖγμα δὲ εὐνοίας κοινωνικῆς καὶ εὐμεταδότου. Μὴ βλασφημείσθω οὖν ἡμῶν τὸ ἀγαθόν· Οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ βρῶσις καὶ πόσις, φησὶν ὁ Ἀπόστολος· ἵνα μὴ τὸ ἐφήμερον ἄριστον νοηθῇ, ἀλλὰ δικαιοσύνη, καὶ εἰρήνη, καὶ χαρὰ ἐν Πνεύματι ἁγίῳ. τούτου ὁ φαγὼν τοῦ ἀρίστου, τὸ ἄριστον τῶν ὄντων, τὴν βασιλείαν τοῦ Θεοῦ, κτήσεται· μελετήσας ἐνθένδε ἁγίαν συνήλυσιν ἀγάπης, οὐράνιον Ἐκκλησίαν. Ἀγάπη μὲν οὖν χρῆμα καθαρὸν, καὶ τοῦ Θεοῦ ἄξιον· ἔργον δε αὐτῆς, ἡ μετάδοσις· Φροντίς δέ παιδείας ἀγάπη, ἣν ἡ Σοφία λέγει· ἀγάπη δὲ, τήρησις νόμων αὐτῆς. αἱ δὲ εὐφροσύναι αὗται, ἔναυσμά τι ἀγάπης ἐκ τῆς πανδήμου τροφῆς ἔχουσι, συνεθιζόμενον εἰς ἀΐδιον τρυφήν. ἀγάπη μὲν οὖν, δεῖπνον οὐκ ἔστιν· ἡ δ' ἑστίασις, ἀγάπης ἠρτήσθω. Μαθέτωσαν γὰρ, φησὶν, οἱ υἱοί σου, οὓς ἠγάπησας, Κύριε, ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρω-

θρωπον, ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ· οὐ γὰρ ἐπ' ἄρτῳ ζήσεται ὁ δίκαιος. Ἀλλὰ γὰρ τὸ δεῖπνον ἔστω λιτὸν ἡμῖν καὶ εὔζωνον, ἐπιτήδειον εἰς ἐγρήγορσιν, ποικίλαις ἀνεπίμικτον ποιότησιν· οὐκ ἀπαιδαγώγητον οὐδὲ τοῦτο· ἀγαθὴ γὰρ κουροτρόφος αὐτάρκεια εἰς κοινωνίαν ἀγάπη, ἐφόδιον ἔχουσα πλούσιον, τὴν αὐτάρκειαν·

Hymnus Christi Servatoris.

Ὕμνος τοῦ Σωτῆρος Χριστοῦ, τοῦ ἁγίου Κλήμεντος.

ΣΤΟΜΙΟΝ πώλων ἀδαῶν,
Πτερὸν ὀρνίθων ἀπλανῶν,
Οἴαξ νηπίων ἀτρεκὴς,
Ποιμὴν ἀρνῶν βασιλικῶν·
Τοὺς σοὺς ἀφελεῖς
Παῖδας ἄγειρον,
Αἰνεῖν ἁγίως,
Ὑμνεῖν ἀδόλως
Ἀκάκοις στόμασιν
Παίδων ἡγήτορα Χριστόν.
Βασιλεῦ ἁγίων,
Λόγε πανδαμάτωρ
Πατρὸς ὑψίστου,
Σοφίας πρύτανι,
Στήριγμα πόνων
Αἰωνοχαρὲς,
Βροτέας γενεᾶς
Σῶτερ Ἰησοῦ,

Ποι-

Ποιμὴν, ἀροτὴρ,
Οἴαξ, στόμιον,
Πτερὸν οὐράνιον·
Παναγοῦς ποίμνης·
Αλιεῦ μερόπων
Τῶν σωζομένων,
Πελάγους κακίας
Ιχθῦς ἁγνοὺς
Κύματος ἐχθροῦ
Γλυκερῇ ζωῇ δελεάζων·
Ηγοῦ, προβάτων
Λογικῶν ποιμήν·
Αγιε ἡγοῦ
Βασιλεῦ παίδων ἀνεπάφων.
Ιχνια Χριστοῦ,
Οδὸς οὐρανία,
Λόγος ἀέναος,
Αἰὼν ἄπλετος,
Φῶς ἀΐδιον,
Ελέους πηγὴ,
Ρεκτὴρ ἀρετῆς·
Σεμνὴ βιοτὴ
Θεὸν ὑμνούντων, Χριστὲ Ιησοῦ,
Γάλα οὐράνιον
Μαστῶν γλυκερῶν
Νύμφης χαρίτων,
Σοφίας τῆς σῆς ἐκθλιβόμενον,
Οἱ νηπίαχοι
Αταλοῖς στόμασιν
Ατιταλλόμενοι,

Θη-

Θηλῆς λογικῆς
Πνεύματι δροσερῷ
Εμπιπλάμενοι,
Αἴνους ἀφελεῖς,
Υμνους ἀτρεκεῖς,
Βασιλεῖ Χριστῷ,
Μισθοὺς ὁσίους
Ζωῆς διδαχῆς,
Μέλπωμεν ὁμοῦ,
Μέλπωμεν ἁπλῶς,
Παῖδα κρατερόν.
Χορὸς εἰρήνης
Οἱ χριστόγονοι,
Λαὸς σώφρων,
Ψάλωμεν ὁμοῦ Θεὸν εἰρήνης.

VI.

E Clementis Alexandrini
Stromatibus.

1. *De consilio Stromatum.*

(Lib.I. c.1.) ΠΕΡΙΕΞΟΥΣΙ δὲ οἱ Στρωματεῖς ἀναμεμιγμένην τὴν ἀλήθειαν τοῖς φιλοσοφίας δόγμασι· μᾶλ-

μᾶλλον δὲ ἐγκεκαλυμμένην καὶ ἐπικεκρυμμένην, καθάπερ τῷ λεπύρῳ τὸ ἐδώδιμον τοῦ καρύου· ἁρμόζει γὰρ, οἶμαι, τῆς ἀληθείας τὰ σπέρματα μόνοις φυλάσσεσθαι τοῖς τῆς πίστεως γεωργοῖς. Οὐ λέληθεν δέ με καὶ τὰ θρυλλούμενα πρός τινων, ἀμαθῶς ψοφοδεῶν· χρῆναι λεγόντων περὶ τὰ ἀναγκαιότατα καὶ συνέχοντα τὴν πίστιν καταγίνεσθαι· τὰ δὲ ἔξωθεν καὶ περιττὰ ὑπερβαίνειν, μάτην ἡμᾶς τρίβοντα καὶ κατέχοντα περὶ τοῖς οὐδὲν συμβαλλομένοις πρὸς τὸ τέλος. οἱ δὲ, καὶ πρὸς κακοῦ ἂν τὴν φιλοσοφίαν εἰςδεδυκέναι τὸν βίον νομίζουσιν, ἐπὶ λύμῃ τῶν ἀνθρώπων, πρός τινος εὑρετοῦ πονηροῦ. ἐγὼ δὲ, ὅτι μὲν ἡ κακία κακὴν φύσιν ἔχει, καὶ οὔ ποτ᾽ ἂν καλοῦ τινος ὑποσταίη γεωργὸς γενέσθαι, παρ᾽ ὅλους ἐνδείξομαι τοὺς Στρωματεῖς, αἰνισσόμενος ἀμηγέπῃ θείας ἔργον προνοίας καὶ φιλοσοφίαν.

---

2. *De vinculo Philosophiam inter et Religionem Christianam.*

(c. 5.) Ην μὲν οὖν πρὸ τῆς τοῦ Κυρίου παρουσίας εἰς δικαιοσύνην Ελλησιν ἀναγκαία φιλοσοφία· νυνὶ δὲ χρησίμη πρὸς θεοσέβειαν γίνεται, προπαιδεία τις οὖσα τοῖς τὴν πίστιν δι᾽ ἀποδείξεως καρπουμένοις· ὅτι ὁ πούς σου, φησὶν, οὐ μὴ προσκόψῃ, ἐπὶ τὴν πρόνοιαν τὰ καλὰ ἀναφέροντος, ἐάν τε Ελληνικὰ ᾖ, ἐάν τε ἡμέτερα. πάντων μὲν γὰρ αἴτιος τῶν καλῶν ὁ Θεός· ἀλλὰ τῶν μέν, κατὰ προηγούμενον, ὡς τῆς

τε

τε διαθήκης τῆς παλαιᾶς, καὶ τῆς νέας· τῶν δὲ, κατ' ἐπακολούθημα, ὡς τῆς Φιλοσοφίας. τάχα δὲ καὶ προηγουμένως τοῖς Ελλησιν ἐδόθη τότε, πρὶν ἢ τὸν Κύριον καλέσαι καὶ τοὺς Ελληνας· ἐπαιδαγώγει γὰρ καὶ αὐτὴ τὸ Ελληνικὸν, ὡς ὁ νόμος τοὺς Εβραίους, εἰς Χριστόν. προπαρασκευάζει τοίνυν ἡ Φιλοσοφία, προοδοποιοῦσα τὸν ὑπὸ Χριστοῦ τελειούμενον. Αὐτίκα τὴν σοφίαν, ὁ Σαλομῶν, περιχαράκωσον, Φησίν· καὶ ὑπερυψώσει σε· στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσει σε· ἐπεὶ καὶ σὺ τῷ θριγκῷ ὑπεροχυρώσας αὐτὴν διὰ Φιλοσοφίας καὶ πολυτελείας ὀρθῆς, ἀνεπίβατον τοῖς σοφισταῖς τηρήσαις. μία μὲν οὖν ἡ τῆς ἀληθείας ὁδός· ἀλλ' εἰς αὐτὴν καθάπερ εἰς ἀέναον ποταμὸν, ἐκρέουσι τὰ ῥεῖθρα ἄλλα ἄλλοθεν. ἐνθέως οὖν ἄρα εἴρηται· Ακουε υἱέ μου· καὶ δέξαι ἐμοὺς λόγους, Φησίν· ἵνα σοι γένωνται πολλαὶ ὁδοὶ βίου. ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ὅπως μὴ ἐκλίπωσίν σε αἱ πηγαὶ αἱ τῆς αὐτῆς ἐκβλύζουσαι γῆς. οὐ δὴ μόνον ἑνός τινος δικαίου ὁδοὺς πλείονας σωτηρίους κατέλεξεν· ἐπιΦέρει δὲ ἄλλας πολλῶν πολλὰς δικαίων ὁδοὺς, μηνύων ὧδέ πως· Αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως Φωτὶ λάμπουσιν. εἶεν δ' ἂν καὶ αἱ ἐντολαὶ καὶ αἱ προπαιδεῖαι, ὁδοὶ καὶ ἀΦορμαὶ τοῦ βίου. Ιερουσαλὴμ Ιερουσαλὴμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σου, ὡς ὄρνις τοὺς νεοσσούς; Ιερουσαλὴμ δὲ, ὅρασις εἰρήνης ἑρμηνεύεται. δηλοῖ τοίνυν προΦητικῶς, τοὺς εἰρηνικῶς ὑποπτεύσαντας, πολυτρόπως εἰς κλῆσιν παιδαγωγεῖσθαι. τί οὖν; ἠθέλησε μὲν, οὐκ ἠδυνήθη δέ· ποσάκις δὲ, ἢ ποῦ; δὶς, διά τε προΦητῶν, καὶ διὰ τῆς παρουσίας. πολύτροπον μὲν οὖν τὴν σοφίαν ἡ Ποσάκις ἐνδείκνυται λέξις, καὶ

καθ'

καθ' ἕνα ἕκαστον τρόπον ποιότητος τε καὶ ποσότητος πάντως σώζει τινὰς, ἔν τε τῷ χρόνῳ, ἔν τε τῷ αἰῶνι· Οτι Πνεῦμα Κυρίου πεπλήρωκε τὴν οἰκουμένην. κἂν τις βιαζόμενος λέγῃ· Μὴ πρόσεχε Φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης· τὴν Ελληνικὴν εἶναι παιδείαν· ἐπακουσάτω τῶν ἑξῆς· Η πρὸς καιρὸν λιπαίνει σὸν Φάρυγγα, Φησί· Φιλοσοφία δὲ, οὐ κολακεύει. τίνα τοίνυν αἰνίσσεται τὴν ἐκπορνεύσασαν; ἐπιφέρει ῥητῶς· Τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ, μετὰ θάνατον εἰς ᾅδην· τὰ δὲ ἴχνη αὐτῆς, οὐκ ἐρείδεται. μακρὰν οὖν ποίησον ἀπὸ τῆς ἄφρονος ἡδονῆς τὴν σὴν ὁδόν· Μὴ ἐπιστῇς θύραις οἴκων αὐτῆς· ἵνα μὴ πρόῃ ἄλλοις τὴν σὴν ζωήν. καὶ ἐπιμαρτυρεῖ· Εἶτα μεταμελήσει σοι ἐπὶ γήρως, ἡνίκα ἂν κατατριβῶσι σου σάρκες σώματος. τοῦτο γὰρ τέλος τῆς ἄφρονος ἡδονῆς. καὶ ταῦτα μὲν ταύτῃ· ὁπηνίκα δ' ἂν Φῇ, Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· χρῆσθαι μὲν, οὐκ ἐνδιατρίβειν δὲ καὶ ἐναπομένειν τῇ κοσμικῇ παιδείᾳ παραινεῖ· προπαιδεύει γὰρ τῷ κυριακῷ λόγῳ τὰ κατὰ τοὺς προσήκοντας καιροὺς ἑκάστῃ γενεᾷ συμφερόντως δεδομένα. ἤδη γάρ τινες τοῖς Φίλτροις τῶν θεραπαινίδων δελεασθέντες, ὠλιγώρησαν τῆς δεσποίνης Φιλοσοφίας, καὶ κατεγήρασαν οἱ μὲν αὐτῶν, ἐν μουσικῇ· οἱ δὲ, ἐν γεωμετρίᾳ· ἄλλοι δὲ, ἐν γραμματικῇ· οἱ πλεῖστοι δὲ, ἐν ῥητορικῇ. ἀλλ' ὡς τὰ ἐγκύκλια μαθήματα συμβάλλεται πρὸς Φιλοσοφίαν, τὴν δέσποιναν αὐτῶν· οὕτω καὶ Φιλοσοφία αὐτὴ πρὸς σοφίας κτῆσιν συνεργεῖ. ἔστι γὰρ ἡ μὲν Φιλοσοφία, ἐπιτήδευσις σοφίας· ἡ σοφία δὲ, ἐπιστήμη θείων καὶ ἀνθρωπίνων, καὶ τῶν τού-

τούτων αἰτίων. κυρία τοίνυν ἡ σοφία τῆς φιλοσοφίας, ὡς ἐκείνη τῆς προπαιδείας. εἰ γὰρ ἐγκράτειαν φιλοσοφία ἐπαγγέλλεται γλώσσης τε, καὶ γαστρὸς, καὶ τῶν ὑπὸ γαστέρα· καὶ ἔστι δἰ αὐτὴν αἱρετή· σεμνοτέρα φανεῖται καὶ κυριωτέρα, εἰ Θεοῦ τιμῆς τε καὶ γνώσεως ἕνεκεν ἐπιτηδεύοιτο. Τῶν εἰρημένων μαρτυρίαν παρέξει ἡ Γραφὴ διὰ τῶνδε· Σάῤῥα στεῖρα ἦν πάλαι, Αβραὰμ δὲ γυνή· μὴ τίκτουσα ἡ Σάῤῥα, τὴν ἑαυτῆς παιδίσκην, ὀνόματι Αγαρ, τὴν Αἰγυπτίαν, εἰς παιδοποιΐαν ἐπιτρέπει τῷ Αβραάμ. ἡ σοφία τοίνυν, ἡ τῷ πιστῷ σύνοικος· πιστὸς δὲ εὐλογίσθη Αβραὰμ, καὶ δίκαιος· στεῖρα ἦν ἔτι καὶ ἄτεκνος κατὰ τὴν γενεὰν ἐκείνην, μηδέπω μηδὲν ἐνάρετον ἀποκυήσασα τῷ Αβραάμ· ἠξίου δὲ εἰκότως, τὸν ἤδη καιρὸν ἔχοντα προκοπῆς, τῇ κοσμικῇ παιδείᾳ· Αἴγυπτος δέ ὁ κόσμος ἀλληγορεῖται· συνευνασθῆναι πρότερον· ὕστερον δὲ, καὶ αὐτῇ προσελθόντα κατὰ τὴν θείαν πρόνοιαν, γεννῆσαι τὸν Ισαάκ. ἑρμηνεύει δὲ ὁ Φίλων, τὴν μὲν Αγαρ, παροίκησιν· ἐνταῦθα γὰρ εἴρηται, Μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν· τὴν Σάῤῥαν δὲ, ἀρχή μου. ἔνεστιν οὖν, προπαιδευθέντα, ἐπὶ τὴν ἀρχικωτάτην σοφίαν ἐλθεῖν· ἀφ' ἧς τὸ Ισραηλιτικὸν γένος αὔξεται· ἐξ ὧν δείκνυται, διδακτικὴν εἶναι τὴν σοφίαν, ἣν μετῆλθεν Αβραὰμ, ἐκ τῆς τῶν οὐρανίων θέας μετιὼν εἰς τὴν κατὰ Θεὸν πίστιν τε καὶ δικαιοσύνην. Ισαὰκ δὲ, τὸ αὐτομαθὲς ἐνδείκνυται· διὸ καὶ Χριστοῦ τύπος εὑρίσκεται. οὗτος, μιᾶς γυναικὸς ἀνὴρ, τῆς Ρεβέκκας· ἣν ὑπομονὴν μεταφράζουσιν· πλείοσι δὲ συνέρχεσθαι ὁ Ιακὼβ λέγεται· ὡς ἂν ἀσκητὴς ἑρμηνευόμενος· διὰ πλειόνων δὲ καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων· ὅθεν καὶ Ισραὴλ, οὐ-

οὗτος μετονομάζεται, ὁ τῷ ὄντι διορατικὸς, ὡς ἂν πολύπειρός τε καὶ ἀσκητικός. Εἴη δ' ἄν τι καὶ ἄλλο δηλούμενον διὰ τῶν τριῶν προπατόρων, κυρίαν εἶναι τὴν σφραγῖδα τῆς γνώσεως, ἐκ φύσεως, καὶ μαθήσεως, καὶ ἀσκήσεως συνεστῶσαν. Ἔχοις δ' ἂν καὶ ἄλλην εἰκόνα τῶν εἰρημένων, τὴν Θήμαρ ἐπὶ τριόδου καθεσθεῖσαν, καὶ πόρνης δόξαν παρασχοῦσαν· ἣν ὁ φιλομαθὴς Ἰούδας· δυνατὸς δὲ ἑρμηνεύεται· ὁ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον καταλιπὼν, ἐπεσκέψατο, καὶ πρὸς αὐτὴν ἐξέκλινεν, σώζων τὴν πρὸς τὸν Θεὸν ὁμολογίαν. Διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ, παραζηλούσης τῆς Σάῤῥας τὴν Ἄγαρ παρευδοκιμοῦσαν αὐτὴν, ὡς ἂν τὸ χρήσιμον ἐκλεξάμενος μόνον τῆς κοσμικῆς φιλοσοφίας, Ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστὸν ᾖ, φησί· δηλῶν ὅτι, ἀσπάζομαι μὲν τὴν κοσμικὴν παιδείαν, καὶ ὡς νεωτέραν, καὶ ὡς συνθεραπαινίδα· τὴν δὲ ἐπιστήμην τὴν σὴν, ὡς τελείαν δέσποιναν, τιμῶ καὶ σέβω. Καὶ ἐκάκωσεν αὐτὴν Σάῤῥα· ἴσον τῷ, ἐσωφρόνισε καὶ ἐνουθέτησεν. εὖ γοῦν εἴρηται, Παιδείας Θεοῦ, υἱὲ, μὴ ὀλιγώρει· μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται. Κατ' ἄλλους μέν τοι γε τόπους ἐξεταζόμεναι αἱ προειρημέναι γραφαὶ, ἄλλα μυστήρια μηνύουσι παρεστάναι. Φαμὲν τοίνυν ἐνθένδε γυμνῷ τῷ λόγῳ, τὴν φιλοσοφίαν ζήτησιν ἔχειν περὶ ἀληθείας καὶ τῆς τῶν ὄντων φύσεως· ἀλήθεια δὲ αὕτη, περὶ ἧς ὁ Κύριος αὐτὸς εἶπεν, Ἐγώ εἰμι ἡ ἀλήθεια· τήν τε αὖ προπαιδείαν τῆς ἐν Χριστῷ ἀναπαύσεως, γυμνάζειν τὸν νοῦν, καὶ διεγείρειν τὴν σύνεσιν, ἀγχίνοιαν γεννῶσαν ζητητικὴν διὰ φιλοσοφίας

ἀληθοῦς, ἣν εὑρόντες, μᾶλλον δὲ εἰληφότες, παρ' αὐτῆς τῆς ἀληθείας ἔχουσιν οἱ μύσται.

(c. 7.) Καταφαίνεται *τοίνυν προπαιδεία ἡ* Ἑλληνικὴ, *σὺν καὶ αὐτῇ φιλοσοφίᾳ θεόθεν ἥκειν εἰς ἀνθρώπους, οὐ κατὰ προηγούμενον, ἀλλ' ὃν τρόπον οἱ ὑετοὶ καταρήγνυνται εἰς τὴν γῆν τὴν ἀγαθὴν, καὶ εἰς τὴν κοπρίαν, καὶ ἐπὶ τὰ δώματα· βλαστάνει δ' ὁμοίως καὶ πόα, καὶ πυρός· φύεταί τε καὶ ἐπὶ τῶν μνημάτων συκῆ, καὶ εἴ τι τῶν ἀναιδεστέρων δένδρων· καὶ τὰ φυόμενα ἐν τύπῳ προκύπτει τῶν ἀληθῶν· ὅτι τῆς αὐτῆς τοῦ ὑετοῦ ἀπέλαυσε δυνάμεως· ἀλλ' οὐ τὴν αὐτὴν ἔσχηκε χάριν τοῖς ἐν τῷ πίονι φυεῖσιν, ἤτοι ξηρανθέντα, ἢ ἀποτιλθέντα.* Καὶ *δὴ κἀνταῦθα χρησιμεύει ἡ τοῦ σπόρου παραβολὴ, ἣν ὁ* Κύριος *ἡρμήνευσεν. εἷς γὰρ ὁ τῆς ἐν ἀνθρώποις γῆς γεωργὸς, ὁ ἄνωθεν σπείρων ἐκ καταβολῆς κόσμου τὰ θρεπτικὰ σπέρματα· ὁ τὸν* Κύριον *καθ' ἕκαστον καιρὸν ἐπομβρίσας* Λόγον· *οἱ καιροὶ δὲ καὶ οἱ τόποι οἱ δεκτικοὶ, τὰς διαφορὰς ἐγέννησαν. ἄλλως τε ὁ γεωργὸς, οὐ πυροὺς μόνον· καί τοι καὶ τούτων πλείους εἰσὶ διαφοραί· σπείρει δὲ καὶ τὰ ἄλλα σπέρματα, κριθάς τε, καὶ κυάμους, καὶ πῖσον, καὶ ἄρακα, καὶ τὰ κηπευόμενα, καὶ τὰ ἀνθευτικὰ σπέρματα· τῆς αὐτῆς δὲ γεωργίας καὶ ἡ φυτουργία καὶ ἐργάζεσθαι ὅσα εἰς αὐτά τε τὰ φυτώρια, καὶ εἰς παραδείσους, καὶ τὰ ὡραῖα, καὶ ὅλως παντοίων δένδρων φύσιν καὶ τροφήν. ὡσαύτως δὲ οὐχ ἡ ποιμενικὴ μόνη, ἀλλὰ καὶ ἡ βουκολικὴ, ἱπποτροφική τε, καὶ κυνοτροφικὴ, καὶ μελισσουργικὴ, τέχναι πᾶσαι· συνελόντι δ' εἰπεῖν, ἀγελοκομική τε καὶ ζωοτροφικὴ, ἀλλήλων μὲν τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι, πλὴν*

αἱ

αἱ πᾶσαι βιωφελεῖς. Φιλοσοφίαν δὲ, οὐ τὴν Στωϊκὴν λέγω, οὐδὲ τὴν Πλατωνικὴν, ἢ τὴν Ἐπικούρειόν τε, καὶ Ἀριστοτελικήν· ἀλλ' ὅσα εἴρηται παρ' ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς, δικαιοσύνην μετὰ εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν φιλοσοφίαν φημί. ὅσα δὲ ἀνθρωπίνων λογισμῶν ἀποτεμόμενοι παρεχάραξαν, ταῦτα οὐκ ἄν ποτε θεῖα εἴποιμ' ἄν. Ἤδη δὲ κἀκεῖνο σκοπῶμεν, ὡς εἴ ποτε οἱ μὴ ἐπιστάμενοι, διαβιοῦσι καλῶς εὖ ποιεῖν· εὐποιΐᾳ γὰρ περιπεπτώκασιν· ἔνιοι δὲ καὶ εὐστοχοῦσι διὰ συνέσεως εἰς τὸν περὶ ἀληθείας λόγον· Ἀβραὰμ δὲ, οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀλλ' ἐκ πίστεως. οὐδὲν οὖν ὄφελος αὐτοῖς μετὰ τὴν τελευτὴν τοῦ βίου, κἂν εὐεργῶς ὦσι νῦν, εἰ μὴ πίστιν ἔχοιεν. διὰ τοῦτο γὰρ Ἑλλήνων φωνῇ ἑρμηνεύθησαν αἱ Γραφαὶ, ὡς μὴ πρόφασιν ἀγνοίας προβάλλεσθαι δυνηθῆναί ποτε αὐτοὺς, οἵους τε ὄντας ἐπακοῦσαι καὶ τῶν παρ' ἡμῖν, ἢν μόνον ἐθελήσωσιν. ἄλλως τις περὶ ἀληθείας λέγει, ἄλλως ἡ ἀλήθεια ἑαυτὴν ἑρμηνεύει· ἕτερον στοχασμὸς ἀληθείας, ἕτερον ἡ ἀλήθεια· ἄλλο ὁμοίωσις, ἄλλο αὐτὸ τὸ ὄν· καὶ ἡ μὲν, μαθήσει καὶ ἀσκήσει περιγίνεται· ἡ δὲ, δυνάμει καὶ πίστει. δωρεὰ γὰρ ἡ διδασκαλία τῆς θεοσεβείας· χάρις δὲ, ἡ πίστις. ποιοῦντες γὰρ τὸ θέλημα τοῦ Θεοῦ, τὸ θέλημα γινώσκομεν. Ἀνοίξατε οὖν, φησὶν ἡ Γραφὴ, πύλας δικαιοσύνης· ἵνα ἐν αὐταῖς εἰσελθὼν ἐξομολογήσομαι τῷ Κυρίῳ· ἀλλ' αἱ μὲν, εἰς δικαιοσύνην ὁδοὶ, πολυτρόπως σώζοντος τοῦ Θεοῦ· ἀγαθὸς γάρ· πολλαί τε καὶ ποικίλαι, καὶ φέρουσαι εἰς τὴν κυρίαν ὁδόν τε καὶ πύλην. ἐὰν δὲ τὴν βασιλικήν τε καὶ αὐθεντικὴν εἴσοδον ζητῇς, ἀκούσῃ· Αὕτη ἡ πύ-

πύλη τοῦ Κυρίου· δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ. πολλῶν τοίνυν ἀνεῳγμένων πυλῶν ἐν δικαιοσύνῃ, αὕτη ἡ ἐν Χριστῷ· ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες, καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν ἐν ὁσιότητι γνωστικῇ. αὐτίκα ὁ Κλήμης ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ, κατὰ λέξιν φησὶ, τὰς διαφορὰς ἐκτιθέμενος τῶν κατὰ τὴν ἐκκλησίαν δοκίμων· Ἤτω τὶς πιστός· ἤτω δυνατὸς τις γνῶσιν ἐξειπεῖν· ἤτω σοφὸς ἐν διακρίσει λόγων· ἤτω γοργὸς ἐν ἔργοις.

(c. 13.) Μιᾶς τοίνυν οὔσης τῆς ἀληθείας· τὸ γὰρ ψεῦδος μυρίας ἐκτροπὰς ἔχει· καθάπερ αἱ Βάκχαι τὰ τοῦ Πενθέως διαφορήσασαι μέλη, αἱ τῆς φιλοσοφίας τῆς τε βαρβάρου, τῆς τε Ἑλληνικῆς αἱρέσεις, ἑκάστη ὅπερ ἔλαχεν, ὡς πᾶσαν αὐχεῖ τὴν ἀλήθειαν· φωτὸς δ', οἶμαι, ἀνατολῇ πάντα φωτίζεται. ξύμπαντες σὺν Ἕλληνές τε καὶ βάρβαροι, ὅσοι τἀληθοῦς ὠρέχθησαν, οἱ μὲν οὐκ ὀλίγα, οἱ δὲ μέρος τι εἴπερ ἄρα τοῦ τῆς ἀληθείας λόγου, ἔχοντες ἀναδειχθεῖεν. ὁ γ' οὖν αἰὼν τοῦ χρόνου τὸ μέλλον καὶ τὸ ἐνεστὸς, αὐτὰρ δὴ καὶ τὸ παρῳχηκὸς ἀκαριέως συνίστησι πολὺ δὲ πλέον δυνατωτέρα τοῦ αἰῶνος ἡ ἀλήθεια συναγαγεῖν τὰ οἰκεῖα σπέρματα, κᾂν εἰς τὴν ἀλλοδαπὴν ἐκπέσῃ γῆν. πάμπολλα γὰρ τῶν παρὰ ταῖς αἱρέσεσι δοξαζομένων εὕροιμεν ἂν, ὅσαι μὴ τέλεον ἐκκεκώφηνται, μηδὲ ἐξετμήθησαν τὴν φυσικὴν ἀκολουθίαν, καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες ἀποκοψάμεναι τὸν Χριστόν· εἰ καὶ ἀλλήλοις ἀνόμοια εἶναι δοκεῖ, τῷ γένει γε καὶ ὅλῃ τῇ ἀληθείᾳ ὁμολογοῦνται. ἢ γὰρ ὡς μέλος, ἢ ὡς εἶδος, ἢ ὡς γένος, εἰς ἓν συνέπεται. ἤδη δὲ καὶ ἡ ὑπάτη, ἐναντία τῇ νεάτῃ οὖσα· ἀλλ' ἄμφω γε, ἁρμονία μία·

ἐν

ἔν τε ἀριθμοῖς ὁ ἄρτιος τῷ περιττῷ διαφέρεται, ὁμολογοῦσι δὲ ἄμφω τῇ ἀριθμητικῇ· ὡς τῷ σχήματι ὁ κύκλος, καὶ τὸ τρίγωνον, καὶ τὸ τετράγωνον, καὶ ὅσα τῶν σχημάτων ἀλλήλων διενήνοχεν· ἀτὰρ καὶ ἐν τῷ κόσμῳ παντὶ τὰ μέρη σύμπαντα, κἂν διαφέρηται πρὸς ἄλληλα, τὴν πρὸς τὸ ὅλον οἰκειότητα διαφυλάττει· οὕτως οὖν ἥ τε βάρβαρος, ἥ τε Ελληνικὴ φιλοσοφία, τὴν ἀΐδιον ἀλήθειαν σπαραγμόν τινα, οὐ τῆς Διονύσου μυθολογίας, τῆς δὲ τοῦ Λόγου τοῦ ὄντος ἀεὶ Θεολογίας πεποίηται· ὁ δὲ τὰ διηρημένα συνθεὶς αὖθις, καὶ ἑνοποιήσας, τέλειον τὸν Λόγον ἀκινδύνως εὖ ἴσθ' ὅτι κατόψεται, τὴν ἀλήθειαν. γέγραπται γ' οὖν ἐν τῷ Εκκλησιαστῇ· Καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν· οἳ δὴ ἐγένοντο ἔμπροσθέν μου ἐν Ιερουσαλήμ· καὶ ἡ καρδία μου εἶδεν πολλά· σοφίαν καὶ γνῶσιν, παραβολὰς καὶ ἐπιστήμην ἔγνων· ἔτι· καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος, ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως. ὁ δὲ τῆς παντοδαπῆς σοφίας ἔμπειρος, οὗτος κυρίως ἂν εἴη γνωστικός. αὐτίκα γέγραπται, Περισσεία γνώσεως τῆς σοφίας ζωοποιήσει τὸν παρ' αὐτῆς. πάλιν τε αὖ βεβαιοῖ σαφέστερον τὰ εἰρημένα ἥδε ἡ ῥῆσις, Πάντα ἐνώπια τοῖς νοοῦσι· τὰ δὲ πάντα, Ελληνικά ἐστι καὶ βαρβαρικά· θάτερα δὲ, οὐκ ἔτι πάντα. ὀρθὰ δὲ, τοῖς βουλομένοις ἀπενέγκασθαι αἴσθησιν. Ανθαιρεῖσθε παιδείαν, καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· ἀνθαιρεῖσθε δὲ καὶ αἴσθησιν χρυσίου καθαροῦ· κρείσσων γὰρ σοφία λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς.

(c. 19.) Επεὶ οὖν μαρτυροῦνται ἀληθῆ τινα δογματίζειν καὶ Ελληνες, ἔξεστι κἀντεῦθεν σκοπεῖν. ὁ Παῦ-

Παῦλος ἐν ταῖς Πράξεσι τῶν Αποστόλων ἀναγράφεται λέγων πρὸς τοὺς Ἀρεοπαγίτας· Δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ. διερχόμενος γὰρ, καὶ ἱστορῶν τὰ σεβάσματα ὑμῶν, εὗρον βωμὸν, ἐν ᾧ ἀνεγέγραπτο, Αγνώστῳ Θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὁ Θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ· οὗτος, οὐρανοῦ καὶ γῆς ὑπάρχων Κύριος, οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ· οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θεραπεύεται, προςδεόμενός τινος, αὐτὸς δοὺς πᾶσι ζωὴν καὶ πνοὴν, καὶ τὰ πάντα· ἐποίησέ τε ἐξ ἑνὸς πᾶν γένος ἀνθρώπων, κατοικεῖν ἐπὶ παντὸς προσώπου τῆς γῆς· ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτων, ζητεῖν τὸ Θεῖον, εἰ ἄρα ψηλαφήσειαν ἢ εὕροιεν ἄν· καί τοι οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντος· ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμὲν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν,

Τοῦ γὰρ καὶ γένος ἐσμέν. —

ἐξ ὧν δῆλον, ὅτι καὶ ποιητικοῖς χρώμενος παραδείγμασιν ἐκ τῶν Αράτου Φαινομένων, δοκιμάζει τὰ παρ' Ελλησι καλῶς εἰρημένα· καὶ διὰ τοῦ ἀγνώστου Θεοῦ, τιμᾶσθαι μὲν κατὰ περίφρασιν πρὸς τῶν Ελλήνων τὸν δημιουργὸν Θεὸν ᾐνίξατο· κατ' ἐπίγνωσιν δὲ δεῖν δι' υἱοῦ παραλαβεῖν τε καὶ μαθεῖν· Απέστειλα οὖν διὰ τοῦτό σε εἰς τὰ ἔθνη, ἀνοῖξαι, φησὶν, ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπὶ Θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ. οὗτοι οὖν οἱ ἀνοιγόμενοι τυφλῶν

ὀφ-

ὀφθαλμοί· ἡ δὲ υἱοῦ ἐπίγνωσίς ἐστι τοῦ πατρὸς, ἡ τῆς περιφράσεως τῆς Ελληνικῆς κατάληψις· τό, τε ἀπὸ τῆς ἐξουσίας τοῦ Σατανᾶ ἐπιστρέψαι, τὸ ἀπὸ τῆς ἁμαρτίας ἐστὶ μεταβάλλεσθαι, δι' ἣν ἡ δουλεία ἐγεγόνει. Οὐ μὴν ἁπλῶς πᾶσαν Φιλοσοφίαν ἀποδεχόμεθα· ἀλλ' ἐκείνην περὶ ἧς καὶ ὁ παρὰ Πλάτωνι λέγει Σωκράτης· Εἰσὶ γὰρ δὴ, ὥς φασὶ περὶ τὰς τελετὰς, Ναρθηκοφόροι μὲν, πολλοί. Βάκχοι δέ τε, παῦροι· πολλοὺς μὲν τοὺς κλητοὺς, ὀλίγους δὲ τοὺς ἐκλεκτοὺς αἰνιττόμενος. ἐπιφέρει γοῦν σαφῶς· Οὗτοι δὲ εἰσι, κατὰ τὴν ἐμὴν δόξαν, οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς· ὧν δὴ κἀγὼ, κατά γε τὸ δυνατὸν, οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην, γενέσθαι· εἰ δὲ ὀρθῶς καί τι ἠνύσαμεν, ἐκεῖσε ἐλθόντες, τὸ σαφὲς εἰσόμεθα, ἐὰν Θεὸς θέλῃ, ὀλίγον ὕστερον. ἆρ' οὐ δοκεῖ σοι πίστεως ἐκ τῶν Εβραϊκῶν γραφῶν τὴν μετὰ θάνατον ἐλπίδα τοῦ δικαίου σαφηνίζειν; κἂν τῷ Δημοδόκῳ· εἰ δὴ τοῦ Πλάτωνος τὸ σύγγραμμα· Μὴ δὲ ἡγοῦ τὸ φιλοσοφεῖν λέγειν περὶ τὰς τέχνας κυπτάζοντας ζῆν, οὐδὲ πολυμαθοῦντα, ἀλλὰ ἄλλο τι· ἐπεὶ ἔγωγε ᾤμην καὶ ὄνειδος εἶναι. ᾔδει γὰρ, οἶμαι, ὡς ἄρα ἤδη πολυμαθῆ νόον ἔχει· ὃ διδάσκει καθ' Ηράκλειτον. ἔν τε τῷ ἑ τῆς Πολιτείας, Τούτους οὖν πάντας, φησὶ, καὶ ἄλλους τοιούτων τινῶν μαθηματικοὺς, καὶ τῶν τεχνυδρίων, φιλοσόφους θήσομεν; Οὐδαμῶς, εἶπεν, ἀλλ' ὁμοίους μὲν φιλοσόφοις· Τοὺς δ' ἀληθινοὺς, ἔφη, τίνας λέγεις; Τοὺς τῆς ἀληθείας, ἦν δ' ἐγὼ, φιλοθεάμονας. οὐ γὰρ ἐν Γεωμετρίᾳ, αἰτήματα καὶ ὑποθέσεις ἐχούσῃ, φιλοσοφία· οὐδ' ἐν Μουσικῇ, στοχαστικῇ γε οὔσῃ· οὐ δ' ἐν Αστρονομίᾳ, φυσικῶν, καὶ ῥεόντων,

καὶ εἰκότων βεβυσμένη λόγων· ἀλλ' αὖ τοῦ ἀγαθοῦ δὶ ἐπιστήμης καὶ τῆς ἀληθείας, ἑτέρων μὲν ὄντων τἀγαθοῦ ὁδῶν, ὥςπερ δὲ ἐπὶ τἀγαθόν. ὥςτ' οὐδ' αὐτὸς τὴν ἐγκύκλιον παιδείαν συντελεῖν πρὸς τἀγαθὸν δίδωσιν, συνεργεῖν δὲ πρὸς τὸ διεγείρειν καὶ συγγυμνάζειν πρὸς τὰ νοητὰ τὴν ψυχήν. Εἶτ' οὖν κατὰ περίπτωσιν φασὶν ἀποφθέγξασθαι τινὰ τῆς ἀληθοῦς φιλοσοφίας τοὺς Ἕλληνας, θείας οἰκονομίας ἡ περίπτωσις· οὐ γὰρ ταυτόματον ἐκθειάσει τις διὰ τὴν πρὸ ἡμᾶς φιλοτιμίαν· εἴτε κατὰ συντυχίαν, οὐκ ἀπρονόητος ἡ συντυχία· εἴτ' αὖ φυσικὴν ἔννοιαν ἐσχηκέναι τοὺς Ἕλληνας λέγοι, τὸν τῆς φύσεως δημιουργὸν ἕνα γινώσκομεν· καθὸ καὶ τὴν δικαιοσύνην φυσικὴν εἰρήκαμεν· εἴτε μὴν κοινὸν ἐσχηκέναι νοῦν, τίς ὁ τούτου πατὴρ, καὶ τίς κατὰ τὴν τοῦ νοῦ διανομὴν δικαιοσύνη, σκοπήσωμεν. ἂν γὰρ προαναφώνησίν τις εἴπῃ, καὶ συνεκφώνησιν αἰτιάσηται, προφητείας εἴδη λέγει. ναὶ μὴν κατ' ἔμφασιν ἀληθείας ἄλλοι θέλουσιν εἰρῆσθαί τινα τοῖς φιλοσόφοις. ὁ μὲν οὖν θεσπέσιος Ἀπόστολος, ἐφ' ἡμῶν γράφει· Βλέπομεν γὰρ νῦν ὡς δὶ ἐσόπτρου, κατ' ἀνάκλασιν ἐπ' αὐτοῦ ἑαυτοὺς γινώσκοντες, κἀκ τοῦ ἐν ἡμῖν θείου τὸ ποιητικὸν αἴτιον, ὡς οἷόντε, συνθεωροῦντες. Εἶδες γὰρ, φησὶ, τὸν ἀδελφόν σου, εἶδες τὸν Θεόν σου· τὸν Σωτῆρα, οἶμαι, Θεὸν εἰρῆσθαι ἡμῖν τὰ νῦν. μετὰ δὲ τὴν τῆς σαρκὸς ἀπόθεσιν, πρόσωπον πρὸς πρόσωπον· τότε ἤδη ὁριστικῶς καὶ καταληπτικῶς, ὅτ' ἂν καθαρὰ ἡ καρδία γένηται. καὶ κατ' ἔμφασιν δὲ καὶ διάφασιν οἱ ἀκριβῶς παρ' Ἕλλησι φιλοσοφήσαντες, διορῶσι τὸν Θεόν· τοιαῦται γὰρ αἱ κατ' ἀδυναμίαν φαντασίαι ἀληθεῖς, ὡς φαντασία καθορᾶται ἐν τοῖς ὕδασιν, ὁρῶμεν

καὶ

καὶ τὰ διὰ τῶν διαφανῶν καὶ διαυγῶν σωμάτων. καλῶς οὖν ὁ Σολομῶν, Ο σπείρων, φησὶ, δικαιοσύνην, ἐργάζεται πίστιν. εἰσὶ δὲ οἱ τὰ ἴδια σπείροντες, οἳ πλείονα ποιοῦσιν. καὶ πάλιν, Επιμελοῦ τῶν ἐν τῷ πεδίῳ χλωρῶν, καὶ κερεῖς πόαν· καὶ συνάγαγε χόρτον ὥριμον, ἵνα ἔχῃς πρόβατα εἰς ἱματισμόν· ὁρᾷς ὅπως καὶ τῆς ἔξωθεν σκέπης τε καὶ φυλακῆς φροντιστέον· Γνωστῶς δὲ ἐπιγνώσῃ ψυχὰς ποιμνίου σου. Οτ' ἂν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τοῦ νόμου ποιῶσιν, οὗτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσι νόμος, τῆς ἀκροβυστίας τὰ δικαιώματα τοῦ νόμου φυλασσούσης, κατὰ τὸν Απόστολον, καὶ πρὸ τοῦ νόμου, καὶ πρὸ τῆς παρουσίας. οἱονεὶ δὲ σύγκρισιν ποιούμενος ὁ Λόγος τῶν ἀπὸ φιλοσοφίας πρὸς τοὺς αἱρετικοὺς καλουμένους, ἐμφανῶς πάνυ, Κρείσσων, φησὶ, φίλος ἐγγὺς, ἢ ἀδελφὸς μακρὰν οἰκῶν· ὃς δὲ ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους, καὶ διώκει ὄρνεα πτερωτά. οὐκ οἶμαι φιλοσοφίαν λέγειν τὰ νῦν τὸν Λόγον· καί τοι ἐν πολλοῖς τὰ εἰκότα ἐπιχειρεῖ καὶ πιθανεύεται φιλοσοφία· ἀλλὰ τὰς αἱρέσεις ἐπιῤῥαπίζει. ἐπιφέρει γοῦν· Απέλιπεν γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος· τὰς δὲ τροχιὰς τοῦ ἰδίου γεωργίου πεπλάνηται. αὗται δέ εἰσιν αἱ τὴν ἐξ ἀρχῆς ἀπολείπουσαι Εκκλησίαν. αὐτίκα ὁ εἰς αἵρεσιν ὑποπεσὼν, διέρχεται δι' ἐρημίας ἀνύδρου, τὸν ὄντως ὄντα Θεὸν καταλιπὼν, ἔρημος Θεοῦ, ὕδωρ ἄνυδρον ζητῶν, τὴν ἀοίκητον καὶ δίψιον ἐπερχόμενος γῆν, συνάγων χερσὶν ἀκαρπίαν. Καὶ τοῖς ἐνδεέσι φρενῶν, παρακελεύομαι, λέγουσα, φησὶν ἡ Σοφία, τοῖς ἀμφὶ τὰς αἱρέσεις δηλονότι· ἄρτων κρυφίων ἡδέως ἅψασθε, καὶ ὕδατος κλοπῆς

γλυκεροῦ· ἄρτον καὶ ὕδωρ οὐκ ἐπ' ἄλλων τινῶν, ἀλλ' ἢ ἐπὶ τῶν ἄρτω καὶ ὕδατι κατὰ τὴν προσφορὰν, μὴ κατὰ τὸν κανόνα τῆς Ἐκκλησίας, χρωμένων αἱρέσεων, ἐμφανῶς ταττούσης τῆς Γραφῆς. εἰσὶ γὰρ οἱ καὶ ὕδωρ ψιλὸν εὐχαριστοῦσιν. Ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς. τόπον τὴν συναγωγὴν, οὐχὶ δὲ Ἐκκλησίαν, ὁμωνύμως προσεῖπεν. εἶτα ἐπιφωνεῖ· Οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον· τὸ βάπτισμα τὸ αἱρετικὸν, οὐκ οἰκεῖον καὶ γνήσιον ὕδωρ λογιζομένη· Καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον, τὸν παραφέροντα καὶ κατασύροντα εἰς θάλασσαν, εἰς ἣν ἐκδίδοται ὁ παρεκτραπεὶς ἐκ τῆς κατ' ἀλήθειαν ἑδραιότητος, συνεκρυεὶς αὖθις εἰς τὰ ἐθνικὰ καὶ ἄτακτα τοῦ βίου κύματα.

---

3. *De vero Gnostico.*

E Libro II.

Verus Gnosticus, Dei imitator.

(c. 19.) Οὗτος ἐστιν ὁ κατ' εἰκόνα καὶ ὁμοίωσιν ὁ γνωστικὸς, ὁ μιμούμενος τὸν Θεὸν καθόσον οἷόντε· μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν· ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιοὺς, βασιλεύων τῶν παθῶν, μεταδιδοὺς ὧν ἔχει, ὡς οἷός τέ ἐστιν εὐεργετῶν καὶ λόγῳ, καὶ ἔργῳ· Οὗτος μέγιστος, φησὶν, ἐν τῇ βασιλείᾳ, ὃς ἂν ποιῇ καὶ διδάσκῃ, μιμούμενος τὸν Θεὸν τῷ παραπλήσια χαρίζεσθαι·

σθαι· κοινωφελεῖς γὰρ αἱ τοῦ Θεοῦ δωρεαί. Ὅς δ' ἂν ἐγχειρῇ τι πράσσειν μεθ' ὑπερηφανίας, τὸν Θεὸν παροξύνει, φησίν· ἀλαζονεία γὰρ ψυχῆς ἐστι κακία· ἀφ' ἧς καὶ τῶν ἄλλων κακιῶν μετανοεῖν κελεύει, ἁρμοζομένοις τὸν βίον ἐξ ἀναρμοστίας πρὸς τὴν ἀμείνω μεταβολὴν, διὰ τῶν τριῶν τούτων, στόματος, καρδίας, χειρῶν. σύμβολον δ' ἂν εἴη ταῦτα, πράξεως μὲν, αἱ χεῖρες· βουλῆς δὲ, ἡ καρδία· καὶ λόγου στόμα. καλῶς οὖν ἐπὶ τῶν μετανοούντων εἴρηται τὸ λόγιον ἐκεῖνο· Τὸν Θεὸν εἵλου σήμερον, εἶναί σου Θεόν· καὶ Κύριος εἵλετό σε σήμερον, γενέσθαι λαὸν αὐτῷ· τὸν γὰρ σπεύδοντα θεραπεύειν τὸ ὄν, οἰκέτην ὄντα, ἐξοικειοῦται ὁ Θεός· κἂν εἷς ᾖ τὸν ἀριθμὸν, ἐπ' ἴσης τῷ λαῷ τετίμηται· μέρος γὰρ ὢν τοῦ λαοῦ, συμπληρωτικὸς αὐτοῦ γίνεται, ἀποκατασταθεὶς ἐξ οὗ ἦν· καλεῖται δὲ καὶ ἐκ μέρους τὸ πᾶν. Αὕτη δὲ ἡ εὐγένεια, ἐν τῷ ἑλέσθαι καὶ συνασκῆσαι τὰ κάλλιστα διαδείκνυται· ἐπεὶ τί τὸν Ἀδὰμ ὠφέλησεν ἡ τοιαύτη αὐτοῦ εὐγένεια; πατὴρ δὲ αὐτοῦ θνητὸς οὐδείς· αὐτὸς γὰρ ἀνθρώπων τῶν ἐν γενέσει πατήρ. τὰ μὲν αἰσχρὰ, οὗτος προθύμως εἵλετο, ἑπόμενος τῇ γυναικί· τῶν δὲ ἀληθῶν καὶ καλῶν ἠμέλησεν· ἐφ' οἷς θνητὸν ἀθανάτου βίου, ἀλλ' οὐκ εἰς τέλος, ἀνθυπηλλάξατο. Νῶε δὲ ὁ μὴ οὕτω γενόμενος ὡς ὁ Ἀδὰμ, ἐπισκοπῇ θείᾳ διασώζεται· φέρων γὰρ αὐτὸν ἀνέθηκε τῷ Θεῷ. τόν τε Ἀβραὰμ ἐκ τριῶν παιδοποιησάμενον γυναικῶν, οὐ δι' ἡδονῆς ἀπόλαυσιν, δι' ἐλπίδα δὲ, οἶμαι, τοῦ πληθῦναι τὸ γένος ἐν ἀρχῇ, εἷς μόνος διαδέχεται κληρονόμος τῶν πατρῴων ἀγαθῶν· οἱ δὲ ἄλλοι, διῳκίσθησαν τῆς συγγενείας· ἔκ τε αὐτοῦ διδύμων γενομένων, ὁ νεώτε-

τερος κληρονομεῖ, εὐάρεστος τῷ πατρὶ γενόμενος, καὶ τὰς εὐχὰς λαμβάνει· δουλεύει δὲ ὁ πρεσβύτερος αὐτῷ· ἀγαθὸν γὰρ μέγιστον τῷ Φαύλῳ, τὸ μὴ αὐτεξούσιον. ἡ δὲ οἰκονομία αὕτη, καὶ προφητικὴ, καὶ τυπική. Οτι δὲ τοῦ σοφοῦ πάντα ἐστὶ, σαφῶς μηνύει λέγων, Διότι ἠλέησέν με ὁ Θεὸς, ἔστι μοι πάντα· ἑνὸς γὰρ δεῖν ὀρέγεσθαι διδάσκει, δι' οὗ τὰ πάντα γέγονεν, καὶ τοῖς ἀξίοις τὰ ἐπηγγελμένα νέμεται. κληρονόμον οὖν τὸν σπουδαῖον γενόμενον τῆς βασιλείας, συμπολίτην διὰ τῆς θείας σοφίας ἀναγράφει καὶ τῶν πάλαι δικαίων, τῶν κατὰ τὸν Νόμον καὶ πρὸ Νόμου νομίμως βεβιωκότων, ὧν αἱ πράξεις νόμοι γεγόνασιν εἰς ἡμᾶς. πάλιν τε αὖ βασιλέα τὸν σοφὸν διδάσκων, τοὺς μὴ ὁμοφύλους ποιεῖ λέγοντας αὐτῷ, Βασιλεὺς παρὰ Θεοῦ σὺ ἐν ἡμῖν εἶ· ἐθελουσίῳ γνώμῃ τῶν ἀρχομένων διὰ ζῆλον ἀρετῆς ὑπακουόντων τῷ σπουδαίῳ. Πλάτων δὲ ὁ Φιλόσοφος, εὐδαιμονίας τέλος τιθέμενος, ὁμοίωσιν Θεῷ Φησὶν αὐτὴν εἶναι κατὰ τὸ δυνατόν· εἴτε καὶ συνδραμὼν πως τῷ δόγματι τοῦ Νόμου· αἱ γὰρ μεγάλαι Φύσεις καὶ γυμναὶ παθῶν εὐστοχοῦσί πως περὶ τὴν ἀλήθειαν, ὥς Φησὶν ὁ Πυθαγόριος Φίλων, τὰ Μωϋσέως ἐξηγούμενος· εἴτε καὶ παρά τινων τότε λογίων ἀναδιδαχθεὶς, ἅτε μαθήσεως ἀεὶ διψῶν. Φησὶ γὰρ ὁ Νόμος, Οπίσω κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθε· καὶ τὰς ἐντολάς μου Φυλάξετε. τὴν μὲν γὰρ ἐξομοίωσιν, ὁ Νόμος ἀκολουθίαν ὀνομάζει· ἡ δὲ τοιαύτη ἀκολουθία, κατὰ δύναμιν ἐξομοιοῖ. Γίνεσθε, Φησὶν ὁ Κύριος, ἐλεήμονες καὶ οἰκτίρμονες, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν. ἐντεῦθεν καὶ οἱ Στωϊκοὶ τὸ ἀκολούθως τῇ Φύσει ζῆν, τέλος εἶναι ἐδογμάτισαν, τὸν

Θεὸν

Θεὸν εἰς Φύσιν μετονομάσαντες εὐπρεπῶς· ἐπειδὴ ἡ Φύσις καὶ εἰς Φυτὰ, καὶ εἰς σπαρτὰ, καὶ εἰς δένδρα, καὶ εἰς λίθους διατείνει. σαφῶς τοίνυν εἴρηται· Ανδρες κακοὶ οὐ νοοῦσι Νόμον· οἱ δὲ ἀγαπῶντες Νόμον, προβάλλουσιν ἑαυτοῖς τεῖχος. Σοφία γὰρ πανούργων, ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῆς· ἄνοια δὲ ἀφρόνων, ἐν πλάνῃ· Επὶ τίνα γὰρ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; ἡ προφητεία λέγει. Τριττὰ δὲ εἴδη Φιλίας διδασκόμεθα· καὶ τούτων, τὸ μὲν πρῶτον καὶ ἄριστον, τὸ κατ' ἀρετήν· στεῤῥὰ γὰρ ἡ ἐκ λόγου ἀγάπη. τὸ δὲ δεύτερον καὶ μέσον, κατ' ἀμοιβήν· κοινωνικὸν δὲ τοῦτο, καὶ μεταδοτικὸν, καὶ βιωφελές· κοινὴ γὰρ ἡ ἐκ χάριτος Φιλία. τὸ δὲ ὕστατον καὶ τρίτον, ἡμεῖς μὲν τὸ ἐκ συνηθείας Φαμέν· οἱ δὲ, τὸ καθ' ἡδονὴν τρεπτὸν καὶ μεταβλητόν. καί μοι δοκεῖ παγκάλως Ιππόδαμος ὁ Πυθαγόριος γράφειν τὰς Φιλίας· Α μὲν, ἐξ ἐπιστάμας Θεῶν· ἃ δ', ἐκ παροχᾶς ἀνθρώπων· ἃ δὲ, ἐξ ἁδονᾶς ζώων. οὐκοῦν ἡ μέν τις ἐστὶ, Φιλοσόφου Φιλία· ἡ δὲ, ἀνθρώπου· ἡ δὲ, ζώου. τῷ γὰρ ὄντι εἰκὼν τοῦ Θεοῦ ἄνθρωπος εὐεργετῶν· ἐν ᾧ καὶ αὐτὸς εὐεργετεῖται· ὥσπερ γὰρ ὁ κυβερνήτης, ἅμα σώζει καὶ σώζεται. διὰ τοῦτο ὅτ' ἂν τις αἰτῶν τύχῃ, οὔ Φησι τῷ διδόντι, Καλῶς ἔδωκας, ἀλλὰ, Καλῶς εἴληφας. οὕτω λαμβάνει μὲν ὁ διδούς· δίδωσι δὲ ὁ λαμβάνων. Δίκαιοι δὲ οἰκτείρουσι, καὶ ἐλεοῦσι· Χρηστοὶ δὲ, ἔσονται οἰκήτορες γῆς· ἄκακοι δὲ, ὑπολειφθήσονται ἐπ' αὐτῆς. οἱ δὲ παρανομοῦντες, ἐξολοθρευθήσονται ἀπ' αὐτῆς· καί μοι δοκεῖ τὸν πιστὸν προμαντευόμενος Ομηρος εἰρηκέναι, Δὸς Φίλῳ· ἐχθρῷ δὲ ἐπικουρητέον· ἵνα μὴ μεί-

μείνῃ ἐχθρός· ἐπικουρία γὰρ, εὐνοίᾳ μὲν συνδεῖται, λύεται δὲ ἔχθρᾳ. ἀλλ' εἰ καὶ προθυμία πρόκειται, καθὸ ἐὰν ἔχῃ, εὐπρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει· οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ὑμῖν δὲ θλίψις· ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ· καὶ τὰ ἑξῆς. Εσκόρπισεν, ἔδωκεν τοῖς πένησιν· ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα, ἡ Γραφὴ λέγει· τὸ γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν, ὡς καὶ πρόσθεν εἰρήκαμεν, οὐ τὸ κατὰ σῶμα μηνύεται· οὐ γὰρ θέμις θνητὸν ἀθανάτῳ ἐξομοιοῦσθαι· ἀλλ' ἢ κατὰ νοῦν καὶ λογισμόν· ᾧ καὶ τὴν πρὸς τὸ εὐεργετεῖν, καὶ τὴν πρὸς τὸ ἄρχειν ὁμοιότητα, προσηκόντως ὁ Κύριος ἐνσφραγίζεται· οὐ γὰρ αἱ ἡγεμονίαι σωμάτων ποιότησιν, ἀλλὰ διανοίας κρίσεσι κατορθοῦνται· βουλαῖς γὰρ ἀνδρῶν ὁσίων, εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος.

(C. 20.) Η γε μὴν καρτερία καὶ αὐτὴ εἰς τὴν θείαν ἐξομοίωσιν βιάζεται, δι' ὑπομονῆς ἀπάθειαν καρπουμένη, εἴ τῳ ἔναυλα τὰ ἐπὶ τὸν Ανανίαν ἱστορούμενα· ὧν εἷς καὶ Δανιὴλ ὁ προφήτης ἦν, θείας πίστεως πεπληρωμένος. Βαβυλῶνα ᾤκει, Δανιὴλ, καθάπερ ὁ μὲν Λὼτ, τὰ Σόδομα· τὴν Χαλδαίων δὲ γῆν ὁ Αβραὰμ, ὁ μετ' ὀλίγον Φίλος τοῦ Θεοῦ. κατήγαγεν οὖν εἰς ὄρυγμα θηρίων ἔμπλεων τὴν Δανιὴλ ὁ Βαβυλωνίων βασιλεύς· ἀνήγαγε δὲ αὐτὸν ἀβλαβῆ ὁ ἁπάντων βασιλεὺς, ὁ πιστὸς Κύριος. ταύτην κτήσεται τὴν ὑπομονὴν ὁ γνωστικὸς, ἡ γνωστικός· εὐλογήσει πειραζόμενος ὡς ὁ γενναῖος Ἰὼβ, ὡς Ιωνᾶς εὔξεται καταπινόμενος ὑπὸ κήτους, καὶ ἡ πίστις αὐτὸν ἀποκαταστήσει Νινευΐταις προφητεύοντα· κἂν μετὰ λεόντων καθειρχθῇ, ἡμερώσει τὰ θηρία· κἂν εἰς πῦρ ἐμβληθῇ, δροσισθήσεται,

ται, ἀλλ' οὐκ ἐκπυρωθήσεται· μαρτυρήσει νύκτωρ, μαρτυρήσει μεθ' ἡμέραν· ἐν λόγῳ, ἐν βίῳ, ἐν τρόπῳ μαρτυρήσει· σύνοικος ἐν τῷ Κυρίῳ ὀαριστής τε καὶ συνέστιος κατὰ τὸ πνεῦμα διαμένει· καθαρὸς μὲν τὴν σάρκα, καθαρὸς δὲ τὴν καρδίαν· ἡγιασμένος τὸν λόγον. Ὁ κόσμος τούτῳ, φησὶν, ἐσταύρωται, καὶ αὐτὸς τῷ κόσμῳ. οὗτος τὸν σταυρὸν τοῦ Σωτῆρος περιφέρων, ἕπεται Κυρίῳ μετ' ἴχνιον, ὥστε Θεὸς, ἅγιος ἁγίων γενόμενος. Πάσης τοίνυν ἀρετῆς μεμνημένος ὁ θεῖος Νόμος, ἀλείψει μάλιστα τὸν ἄνθρωπον ἐπὶ τὴν ἐγκράτειαν· θεμέλιον ἀρετῶν κατατιθέμενος ταύτην· καὶ δὴ προπαιδεύει ἡμᾶς εἰς τὴν περιποίησιν τῆς ἐγκρατείας, ἀπὸ τῆς τῶν ζώων χρήσεως, ἀπαγορεύων μεταλαμβάνειν τῶν ὅσα φύσει πίονα, καθάπερ τὸ τῶν συῶν γένος, εὐσαρκότατον τυγχάνον· τρυφητιῶσι γὰρ ἡ τοιαύτη χρῆσις χορηγεῖται.......

E Libro VI.

Gnosticus revera perfectionem consequitur.

(c. 12.) Ὧ λόγῳ λύεται τὸ πρὸς τῶν αἱρετικῶν ἀπορούμενον ἡμῖν, πότερον τέλειος ἐπλάσθη ὁ Ἀδὰμ, ἢ ἀτελής. ἀλλ' εἰ μὲν ἀτελὴς, πῶς τελείου Θεοῦ ἀτελὲς τὸ ἔργον, καὶ μάλιστα ἄνθρωπος; εἰ δὲ τέλειος, πῶς παραβαίνει τὰς ἐντολάς; ἀκούσονται γὰρ καὶ παρ' ἡμῶν ὅτι τέλειος κατὰ τὴν κατασκευὴν οὐκ ἐγένετο, πρὸς δὲ τὸ ἀναδέξασθαι τὴν ἀρετὴν ἐπιτήδειος· διαφέρει γὰρ δή που ἐπὶ τὴν ἀρετὴν γεγονέναι

ἐπ.-

ἐπιτήδειον πρὸς τὴν κτῆσιν αὐτῆς· ἡμᾶς δὲ ἐξ ἡμῶν αὐτῶν βούλεται σώζεσθαι. αὕτη οὖν Φύσις ψυχῆς, ἐξ ἑαυτῆς ὁρμᾷν· εἶτα λογικοὶ ὄντες, λογικῆς οὔσης τῆς Φιλοσοφίας, συγγενές τι ἔχομεν πρὸς αὐτήν. ἡ δὲ ἐπιτηδειότης, Φορὰ μὲν ἐστι πρὸς ἀρετὴν, ἀρετὴ δ' οὔ. πάντες μὲν οὖν, ὡς ἔΦην, πρὸς ἀρετῆς κτῆσιν πεΦύκασιν· ἀλλ' ὁ μὲν, μᾶλλον· ὁ δ', ἧττον πρόσεισι τῇ τε μαθήσει, τῇ τε ἀσκήσει· διὸ καὶ οἱ μὲν, ἐξήρκεσαν μέχρι τῆς τελείας ἀρετῆς· οἱ δὲ, μέχρι τινὸς ἔΦθασαν· ἀμεληθέντες δ' αὖ τινὲς, καὶ εἰ ἄλλως ἦσαν εὐΦυεῖς, εἰς τοὐναντίον ἀπετράπησαν. πολὺ δε μᾶλλον ἡ μεγέθει πασῶν μαθήσεων καὶ ἀληθείᾳ διαΦέρουσα γνῶσις, χαλεπωτάτη κτήσασθαι, καὶ ἐν πολλῷ καμάτῳ περιγίνεται. ἀλλ' ὡς ἔοικεν, οὐκ ἔγνωσαν μυστήρια Θεοῦ· ὅτι ὁ Θεὸς ἔκτισεν τὸν ἄνθρωπον ἐπὶ ἀΦθαρσίᾳ, καὶ εἰκόνα τῆς ἰδίας ἰδιότητος ἐποίησεν αὐτόν· καθ' ἣν ἰδιότητα τοῦ πάντα εἰδότος ὁ γνωστικὸς καὶ δίκαιος καὶ ὅσιος μετὰ Φρονήσεως εἰς μέτρον ἡλικίας τελείας ἀΦικνεῖσθαι σπεύδει. ὅτι δ' οὐ μόνον αἱ πράξεις καὶ αἱ ἔννοιαι, ἀλλὰ καὶ οἱ λόγοι καθαρεύουσι τῷ γνωστικῷ. Εδοκίμασας τὴν καρδίαν μου, ἐπεσκέψω νυκτὸς, Φησίν· ἐπύρωσάς με, καὶ οὐχ εὑρέθη ἐν ἐμοὶ ἀδικία· ὅπως ἂν μὴ λαλήσῃ τὸ στόμα μου τὰ ἔργα τῶν ἀνθρώπων. καὶ τί λέγω τὰ ἔργα τῶν ἀνθρώπων; αὐτὴν τὴν ἁμαρτίαν γνωρίζει, οὐ παραχθεῖσαν ἐπὶ μετάνοιαν· κοινὸν γὰρ τοῦτο καὶ τῶν ἄλλων πιστῶν· ἀλλ' ὅ ἐστιν ἁμαρτία· οὐδὲ γὰρ τῆς δέ τινος καταγινώσκει, ἀλλ' ἁπλῶς πάσης τῆς ἁμαρτίας· οὐδ' ὃ ἐποίησέν τις κακῶς, ἀλλὰ τὸ μὴ ποιητέον συνίστησιν. ὅθεν καὶ ἡ μετάνοια διττή· ἡ μὲν, κοινὴ, ἐπὶ τῷ πεπλημμελη-

κέ-

κέναι· ἡ δὲ, τὴν φύσιν τῆς ἁμαρτίας καταμαθοῦσα, ἀφίστασθαι τοῦ ἁμαρτάνειν αὐτοῦ κατὰ προηγούμενον λόγον πείθει, ᾧ ἕπεται τὸ μὴ ἁμαρτάνειν. μὴ τοίνυν λεγόντων ὡς ὁ ἀδικῶν καὶ ἁμαρτάνων κατ᾽ ἐνέργειαν δαιμόνων πλημμελεῖ· ἐπεὶ κἂν ἀθῷος γένοιτο· τὰ δὲ αὐτὰ τοῖς δαιμονίοις κατὰ τὸ ἁμαρτάνειν αἱρούμενος, ἀνέδραστος καὶ κοῦφος καὶ εὐμετάβολος ἐν ἐπιθυμίαις, ὡς δαίμων, γίνεται ἄνθρωπος δαιμονικός. αὐτίκα ὁ μὲν κακὸς φύσει, ἁμαρτητικὸς διὰ κακίαν γενόμενος, φαῦλος καθέστηκεν, ἔχων ἣν ἑκὼν εἵλετο· ἁμαρτητικὸς δὲ ὢν, καὶ κατὰ πράξεις διαμαρτάνει· ἔμπαλιν δὲ, ὁ σπουδαῖος κατορθοῖ. διὸ οὐ μόνον τὰς ἀρετὰς, ἀλλὰ καὶ τὰς πράξεις τὰς καλὰς ἀγαθὰ καλοῦμεν. τῶν δὲ ἀγαθῶν ἴσμεν, τὰ μὲν, αὐτὰ δι᾽ αὐτὰ αἱρετὰ, ὡς τὴν γνῶσιν· οὐ γὰρ ἄλλό τι ἐξ αὐτῆς θηρῶμεν, ἐπειδὰν παρῇ, ἢ μόνον τὸ παρεῖναι αὐτὴν, καὶ ἐν ἀδιαλείπτῳ θεωρίᾳ ἡμᾶς εἶναι, καὶ εἰς αὐτὴν, καὶ δι᾽ αὐτὴν ἀγωνίζεσθαι· τὰ δὲ, δι᾽ ἕτερα, τὴν πίστιν, διὰ τὴν ἐξ αὐτῆς περιγινομένην φυγήν τε τῆς κολάσεως, καὶ ὠφέλειαν τὴν ἐκ τῆς ἀνταποδόσεως. φόβος μὲν γὰρ αἴτιος τοῦ μὴ ἁμαρτάνειν τοῖς πολλοῖς· ἐπαγγελία δὲ, ἀφορμὴ τοῦ διώκειν ὑπακοὴν, δι᾽ ἧς ἡ σωτηρία· τελειώτατον ἄρα ἀγαθὸν ἡ γνῶσις, δι᾽ αὐτὴν οὖσα αἱρετή· κατ᾽ ἐπακολούθημα δὲ, καὶ τὰ διὰ ταύτης ἀκολουθοῦντα καλά. καὶ ἡ κόλασις τῷ μὲν κολαζομένῳ διορθώσεως αἰτία· τοῖς δὲ διορᾷν πόῤῥωθεν δυναμένοις παράδειγμα γίνεται, δι᾽ οὗ τὸ συνεμπίπτειν τοῖς ὁμοίοις ἀνακόπτουσιν. δεξώμεθα οὖν τὴν γνῶσιν οὐ τῶν ἀποβαινόντων ἐφιέμενοι, ἀλλ᾽ αὐτοῦ ἕνεκα τοῦ γινώσκειν ἀσπαζόμενοι. πρώτη γὰρ ὠφέλεια ἡ ἕξις ἡ

 γνω-

γνωστική, ἡδονὰς ἀβλαβεῖς παρεχομένη καὶ ἀγαλλίασιν, καὶ νῦν, καὶ εἰς ὕστερον. τὴν δὲ ἀγαλλίασιν εὐφροσύνην εἶναι φασὶν, ἐπιλογισμὸν οὖσαν τῆς κατὰ τὴν ἀλήθειαν ἀρετῆς, διά τινος ἑστιάσεως καὶ διαχύσεως ψυχικῆς. τὰ δὲ μετέχοντα τῆς γνώσεως ἔργα, αἱ ἀγαθαὶ καὶ καλαὶ πράξεις εἰσίν· πλοῦτος μὲν γὰρ ἀληθὴς, ὁ ἐν ταῖς κατὰ τὴν ἀρετὴν πράξεσι πλεονασμός· πενία δὲ, ἡ κατὰ τὰς κοσμίας ἐπιθυμίας ἀπορία. αἱ κτήσεις γὰρ καὶ χρήσεις τῶν ἀναγκαίων, οὐ τὴν ποιότητα ἔχουσι βλαβερὰν, ἀλλὰ τὴν παρὰ τὸ μέτρον ποσότητα. διόπερ τὰς ἐπιθυμίας ὁ γνωστικὸς περιγράφει κατά τε τὴν κτῆσιν, κατά τε τὴν χρῆσιν· οὐχ ὑπερβαίνων τὸν τῶν ἀναγκαίων ὅρον. τὸ ζῆν ἄρα τὸ ἐνταῦθ' ἀναγκαῖον ἡγούμενος εἰς ἐπιστήμης συναύξησιν, καὶ τὴν περιποίησιν τῆς γνώσεως, οὐ τὸ ζῆν, ἀλλὰ τὸ εὖ ζῆν περὶ πλείστου ποιήσεται· μήτ' οὖν παῖδας, μήτ' αὖ γάμον ἢ τοὺς γονεῖς, τῆς πρὸς τὸν Θεὸν ἀγάπης καὶ τῆς ἐν βίῳ δικαιοσύνης προτιμῶν· ἀδελφὴ δὲ τούτῳ ἡ γυνὴ μετὰ τὴν παιδοποιΐαν ὡς καὶ ὁμοπατρία κρίνεται· τότε μόνον τοῦ ἀνδρὸς ἀναμιμνησκομένη, ὁπηνίκα ἂν τοῖς τέκνοις προσβλέπῃ· ὡς ἂν ἀδελφὴ τῷ ὄντι ἐσομένη καὶ μετὰ τὴν ἀπόθεσιν τῆς σαρκὸς, τῆς διαχωριζούσης καὶ διοριζούσης τὴν γνῶσιν τῶν πνευματικῶν, τῇ ἰδιότητι τῶν σχημάτων. αὐταὶ γὰρ καθ' αὑτὰς ἐπ' ἴσης εἰσὶ ψυχαί. αἱ ψυχαὶ οὐθέτεραι, οὔτε ἄῤῥενες, οὔτε θήλειαι· ἐπὰν μήτε γαμῶσι, μήτε γαμίσκονται· καὶ μή τι οὕτως μετατίθεται εἰς τὸν ἄνδρα ἡ γυνὴ, ἀθήλυντος ἐπ' ἴσης καὶ ἀνδρικὴ καὶ τελεία γενομένη; τοῦτ' ἦν ἄρα ὁ τῆς Σάῤῥας, γένεσιν παιδὸς εὐαγγελισθείσης, γέλως· οὐκ ἀπιστησά-

στάσης οἶμαι τῷ Ἀγγέλῳ, καταιδεσθείσης δὲ ἐκείνης αὖθις τὴν ὁμιλίαν, δι' ἧς ἔμελλεν παιδὸς γενήσεσθαι μήτηρ. καὶ μή τι ἔκτοτε ὁ Ἀβραὰμ, ὁπηνίκα παρὰ τῷ βασιλεῖ τῆς Αἰγύπτου διὰ τὸ τῆς Σάῤῥας ἐκινδύνευεν κάλλος, οἰκείως αὐτὴν ἀδελφὴν προσεῖπεν, ἀλλ' οὔτε ὁμομητρίαν οὐδέπω καὶ ὁμοπατρίαν; τοῖς μὲν οὖν ἐξ ἁμαρτιῶν μετανενοηκόσι καὶ μὴ στερεῶς πεπιστευκόσι, διὰ τῶν δεήσεων παρέχει ὁ Θεὸς τὰ αἰτήματα· τοῖς δ' ἀναμαρτήτως καὶ γνωστικῶς βιοῦσιν, ἐννοησαμένοις μόνον δίδωσιν. αὐτίκα τῇ Ἄννῃ ἐννοηθείσῃ μόνον, τοῦ παιδὸς ἐδόθη σύλληψις, τοῦ Σαμουήλ. Αἴτησαι, φησὶν ἡ γραφὴ, καὶ ποιήσω· ἐννοήθητι, καὶ δώσω. καρδιογνώστην γὰρ τὸν Θεὸν παρειλήφαμεν, οὐκ ἐκ κινήματος ψυχῆς τεκμαιρόμενον, καθάπερ ἡμεῖς οἱ ἄνθρωποι· ἀλλ' οὐδὲ ἐκ τοῦ ἀποβαίνοντος· γελοῖον γὰρ οὕτως νοεῖν· οὐδὲ, ὡς ὁ ἀρχιτέκτων γενόμενον τὸ ἔργον ἐπήνεσε, καὶ ὁ Θεὸς οὕτως ποιήσας τὸ φῶς, ἔπειτα ἰδὼν, καλὸν εἶπεν· ὁ δὲ, καὶ πρὶν ἢ ποιῆσαι, οἷον ἔσται εἰδὼς, τοῦτο ἐπήνεσεν, ὃ ἐγένετο, δυνάμει ποιοῦντος καλὸν ἄνωθεν διὰ τῆς ἀνάρχου προθέσεως τὸ ἐσόμενον ἐνεργείᾳ καλόν· αὐτίκα τὸ ἐσόμενον, ἤδη προεῖπεν εἶναι καλὸν, τῆς φράσεως ὑπερβατῷ κρυψάσης τὴν ἀλήθειαν. εὔχεται τοίνυν ὁ γνωστικὸς καὶ κατὰ τὴν ἔννοιαν πᾶσαν τὴν ὥραν, δι' ἀγάπης οἰκειούμενος τῷ Θεῷ. καὶ τὰ μὲν πρῶτα, ἄφεσιν ἁμαρτιῶν αἰτήσεται· μετὰ δὲ τὸ μηκέτι ἁμαρτάνειν, ἐπὶ τὸ εὖ ποιεῖν δύνασθαι, καὶ πᾶσαν τὴν κατὰ τὸν Κύριον δημιουργίαν τε καὶ οἰκονομίαν συνιέναι· ἵνα δὴ καθαρὸς τὴν καρδίαν γενόμενος δι' ἐπιγνώσεως τῆς διὰ τοῦ υἱοῦ τοῦ Θεοῦ, πρόσωπον πρὸς

πρό-

πρόσωπον τὴν μακαρίαν θέαν μυηθῇ, ἐπακούσας τῆς λεγούσης γραφῆς, Αγαθὸν νηστεία μετὰ προσευχῆς· νηστεῖαι δὲ, ἀποχὰς κακῶν μηνύουσιν πάντων ἁπαξαπλῶς, τῶν τε κατ' ἐνέργειαν καὶ κατὰ λόγον καὶ κατὰ τὴν διάνοιαν αὐτήν. ὡς ἔοικεν οὖν, ἡ δικαιοσύνη τετράγωνός ἐστὶ, πάντοθεν ἴση καὶ ὁμοία, ἐν λόγῳ, ἐν ἔργῳ, ἐν ἀποχῇ κακῶν, ἐν εὐποιΐᾳ, ἐν τελειότητι γνωστικῇ, οὐδαμῇ οὐδαμῶς χωλεύουσα, ἵνα μὴ ἄδικός τε καὶ ἄνισος Φανῇ· ᾗ μὲν οὖν τις ἐστὶ δίκαιος, πάντως οὗτος καὶ πιστός· ᾗ δὲ πιστὸς, οὐδέπω καὶ δίκαιος· τὴν κατὰ προκοπὴν καὶ τελείωσιν δικαιοσύνην λέγω καθ' ἣν ὁ γνωστικὸς δίκαιος λέγεται· αὐτίκα τῷ Αβραὰμ πιστῷ γενομένῳ ἐλογίσθη εἰς δικαιοσύνην, εἰς τὸ μεῖζον καὶ τελειότερον τῆς πίστεως προβεβηκότι. οὐ γὰρ ὁ ἀπεχόμενος μόνον τῆς κακῆς πράξεως δίκαιος, ἐὰν μὴ προσεξεργάσηται καὶ τὸ εὖ ποιεῖν καὶ τὸ γινώσκειν· δι ἣν αἰτίαν, τῶν μὲν, ἀΦεκτέον, τὰ δ' ἐνεργητέον. διὰ τῶν ὅπλων τῆς δικαιοσύνης τῶν δεξιῶν καὶ ἀριστερῶν, Φησὶν ὁ Απόστολος παραπέμπεσθαι τὸν δίκαιον εἰς κληρονομίαν τὴν ἄκραν· ὑπὸ μὲν τῶν, πεΦραγμένον· τοῖς δὲ, ἐνεργοῦντα· οὐ γὰρ ἡ σκέπη μόνη τῆς πανευχίας, καὶ ἡ τῶν ἁμαρτημάτων ἀποχὴ, ἱκανὴ πρὸς τελείωσιν, εἰ μὴ προσλάβοι τὸ ἔργον τῆς δικαιοσύνης, τὴν εἰς εὐποιΐαν ἐνέργειαν. τότε ὁ περιδέξιος ἡμῖν καὶ γνωστικὸς ἐν δικαιοσύνῃ ἀποκαλύπτεται, δεδοξασμένος ἤδη κἀνθένδε, καθάπερ ὁ Μωϋσῆς τὸ πρόσωπον τῆς ψυχῆς· ὅπερ ἐν τοῖς πρόσθεν τὸ σῶμα χαρακτηριστικὸν τῆς δικαίας εἰρήκαμεν ψυχῆς. καθάπερ γὰρ τοῖς ἐρίοις ἡ στύψις τῆς βαΦῆς ἐμμείνασα, τὴν ἰδιότητα καὶ παραλλαγὴν πρὸς τὰ λοι-

λοιπὰ παρέχει ἔρια· οὕτως κἀπὶ τῆς ψυχῆς, ὁ μὲν πόνος παρῆλθεν, μένει δὲ τὸ καλόν· καὶ τὸ μὲν ἡδὺ καταλείπεται, ἀναμάσσεται δὲ τὸ αἰσχρόν· αὗται γὰρ ἑκατέρας ψυχῆς χαρακτηριστικαὶ ποιότητες, ἀφ᾽ ὧν γνωρίζεται· ἡ μὲν, δεδοξασμένη· ἡ δὲ, κατεγνωσμένη. καὶ μὴν καθάπερ τῷ Μωϋσεῖ ἐκ τῆς δικαιοπραγίας καὶ τῆς κατὰ τὸ συνεχὲς πρὸς τὸν Θεὸν τὸν λαλοῦντα αὐτῷ ὁμιλίας, ἐπίχροιά τις ἐπικάθιζε τῷ προσώπῳ δεδοξασμένη· οὕτως καὶ τῇ δικαίᾳ ψυχῇ θεία τις ἀγαθωσύνης δύναμις, κατά τε ἐπισκοπὴν, κατά τε τὴν προφητείαν, κατά τε τὴν διοικητικὴν ἐνέργειαν ἐγχριμπτομένη, οἷον ἀπαυγάσματος νοεροῦ, καθάπερ ἡλιακῆς ἀλέας, ἐναποσημαίνεταί τι, δικαιοσύνης σφραγῖδα ἐπιφανῆ, φῶς ἡνωμένον ψυχῇ δι᾽ ἀγάπης ἀδιαστάτου, θεοφορούσης καὶ θεοφορουμένης. ἐνταῦθα ἡ ἐξομοίωσις ἡ πρὸς τὸν Σωτῆρα Θεὸν, ἀνακύπτει τῷ γνωστικῷ, εἰς ὅσον ἀνθρωπίνῃ θεμιτὸν φύσει, γινομένῳ τελείῳ, ὡς ὁ πατὴρ, φησὶν, ὁ ἐν τοῖς οὐρανοῖς. αὐτός ἐστιν ὁ εἰπὼν, Τεκνία ἔτι μικρὸν μεθ᾽ ὑμῶν εἰμί· ἐπεὶ καὶ ὁ Θεὸς, οὐχ ᾗ φύσει ἀγαθός ἐστι, ταύτῃ μένει μακάριος καὶ ἄφθαρτος, οὔτε πράγματ᾽ ἔχων, οὔτε ἄλλῳ παρέχων, ποιῶν δὲ ἰδίως ἀγαθά· Θεὸς ὄντως καὶ πατὴρ ἀγαθὸς, ὤν τε καὶ γινόμενος ἐν ἀδιαλείπτοις εὐποιΐαις, ἐν ταυτότητι τῆς ἀγαθωσύνης ἀπαραβάτως μένει. τί γὰρ ὄφελος ἀγαθοῦ, μὴ ἐνεργοῦντος μηδὲ ἀγαθύνοντος;

Gno-

Gnosticus verus philosophiam attingit, ad Christianam doctrinam progrediens.

(c. 18.) Ο γνωστικὸς δ' ἡμῖν ἐν τοῖς κυριωτάτοις ἀεί ποτε διατρίβει· εἰ δέ που σχολὴ καὶ ἀνέσεως καιρὸς ἀπὸ τῶν προηγουμένων, ἀντὶ τῆς ἄλλης ῥαθυμίας, καὶ τῆς Ελληνικῆς ἐφάπτεται φιλοσοφίας, οἷον τρωγάλιόν τι ἐπὶ τῷ δείπνῳ παροψώμενος· οὐ τῶν κρειττόνων ἀμελήσας, προσλαβὼν δὲ, ἐφ' ὅσον πρέπει, καὶ ταῦτα, δι ἃς προεῖπον αἰτίας. οἱ δὲ, τῶν οὐκ ἀναγκαίων, καὶ περιττῶν τῆς φιλοσοφίας ὀρεχθέντες, καὶ μόνοις τοῖς ἐριστικοῖς προσανέχοντες σοφίσμασι, τῶν ἀναγκαίων, καὶ κυριωτάτων ἀπελείφθησαν, οἱ τὰς σκιὰς ἀτεχνῶς τῶν λόγων διώκοντες. καλὸν μὲν οὖν τὸ πάντα ἐπίστασθαι· ὅτῳ δὲ ἀσθενεῖ ἐπεκτείνεσθαι ἡ ψυχὴ πρὸς τὴν πολυμαθῆ ἐμπειρίαν, τὰ προηγούμενα καὶ βελτίω αἱρήσεται μόνα· ἡ γὰρ τῷ ὄντι ἐπιστήμη, ἣν φαμὲν μόνον ἔχειν τὸν γνωστικὸν, κατάληψίς ἐστι βεβαία διὰ λόγων ἀληθῶν καὶ βεβαίων ἐπὶ τὴν τῆς αἰτίας γνῶσιν ἀνάγουσα· ὁ δὲ ἐπιστήμων τοῦ ἀληθοῦς, περὶ ὃ δή ποτ' οὖν, αὐτίκα καὶ τοῦ ψεύδους περὶ τὸ αὐτὸ ἐπιστήμων ὑπάρχει. καὶ γὰρ οὖν εὖ πως ἔχειν μοι φαίνεται ὁ λόγος ἐκεῖνος, εἰ φιλοσοφητέον· αὐτὸ γάρ τι αὐτῷ ἀκολουθεῖ· ἀλλ' εἰ καὶ μὴ φιλοσοφητέον· οὐ γάρ τις καταγνῴη τινὸς μὴ τοῦτο πρότερον ἐγνωκώς. φιλοσοφητέον ἄρα. τούτων οὕτως ἐχόντων, τοὺς Ελληνας χρὴ διὰ νόμου καὶ προφητῶν ἐκμανθάνειν ἕνα μόνον σέβειν Θεὸν, τὸν ἐν-

ὄντως ὄντα παντοκράτορα. ἔπειτα διὰ τοῦ Ἀποστόλου διδάσκεσθαι τοῦτο, Ἡμῖν δὲ οὐδὲν εἴδωλον ἐν κόσμῳ· ἐπεὶ μηδὲν ἀπεικόνισμα τοῦ Θεοῦ οἷόν τε ἐν γενητοῖς εἶναι· προσεπιδιδάσκεσθαι δὲ, ὡς οὐδὲ τούτων ὧν σέβουσι τὰ ἀγάλματα, εἶεν ἂν αἱ εἰκόνες· οὐ γάρ πω τοιοῦτον κατὰ τὸ σχῆμα τὸ τῶν ψυχῶν γένος, ὁποῖα διαπλάσσουσιν Ἕλληνες τὰ ξόανα. ψυχαὶ μὲν γὰρ, ἀόρατοι, οὐ μόνον αἱ λογικαὶ, ἀλλὰ καὶ αἱ τῶν ἄλλων ζῴων· τὰ δὲ σώματα αὐτῶν, μέρη μὲν αὐτῶν οὐδέ ποτε γίνεται τῶν ψυχῶν· ὄργανα δὲ, ὧν μὲν, ἐνιζήματα· ὧν δὲ, ὀχήματα· ἄλλων δὲ, ἄλλον τρόπον κτήματα. ἀλλ' οὐδὲ τῶν ὀργάνων τὰς εἰκόνας οἷόν τε ἀπομιμεῖσθαι ἐναργῶς· ἐπεὶ καὶ τὸν ἥλιόν τις, ὡς ὁρᾶται, πλασσέτω, καὶ τὴν ἶριν τοῖς χρώμασιν ἀπεικαζέτω· ἐπὰν δὲ ἀπολείπωσι τὰ εἴδωλα, τότε ἀκούσονται τῆς γραφῆς, Ἐὰν μὴ πλεονάσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον τῶν γραμματέων, καὶ Φαρισαίων, τῶν κατὰ ἀποχὴν κακῶν δικαιουμένων, σὺν τῷ μετὰ τῆς ἐν τούτοις τελειώσεως καὶ τῷ τὸν πλησίον ἀγαπᾷν, καὶ εὐεργετεῖν δύνασθαι, οὐκ ἔσεσθε βασιλικοί. ἡ ἐπίτασις γὰρ τῆς κατά τὸν νόμον δικαιοσύνης, τὸν γνωστικὸν δείκνυσιν. οὕτως τις κατὰ τὸ ἡγεμονοῦν τοῦ οἰκείου σώματος τὴν κεφαλὴν ταγεὶς, ἐπὶ τὴν ἀκρότητα τῆς πίστεως χωρήσας, τὴν γνῶσιν αὐτὴν, περὶ ἣν πάντα ἐστὶ τὰ αἰσθητήρια, ἀκροτάτης ὁμοίως τεύξεται τῆς κληρονομίας. τὸ δὲ ἡγεμονικὸν τῆς γνώσεως σαφῶς ὁ Ἀπόστολος τοῖς διαθρεῖν δυναμένοις ἐνδείκνυται, τοῖς Ἑλλαδικοῖς ἐκείνοις γράφων Κορινθίοις ὧδέ πως· Ἐλπίδα δὲ ἔχοντες αὐξανομένης τῆς πίστεως ὑμῶν ἐν ὑμῖν μεγαλυνθῆναι κατὰ τὸν κανόνα ἡμῶν εἰς περισσείαν, εἰς

τὰ

τὰ ὑπερέκεινα ὑμῶν εὐαγγελίσασθαι· οὐ τὴν ἐπέκτασιν τοῦ κηρύγματος τὴν κατὰ τὸν τόπον λέγων· ἐπεὶ καὶ ἐν Ἀχαΐᾳ πεπλεοναχκέναι τὴν πίστιν αὐτὸς φησίν· φέρεται δὲ κἀν ταῖς Πράξεσι τῶν Ἀποστόλων, καὶ ἐν ταῖς Ἀθήναις κηρύξας τὸν λόγον· ἀλλὰ τὴν γνῶσιν διδάσκει, τελείωσιν οὖσαν τῆς πίστεως, ἐπέκεινα περισσεύειν τῆς κατηχήσεως κατὰ τὸ μεγαλεῖον τῆς τοῦ Κυρίου διδασκαλίας, καὶ τὸν ἐκκλησιαστικὸν κανόνα. διὸ καὶ ὑποβὰς, ἐπιφέρει· Εἰ δὲ καὶ ἰδιώτης τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει. πλὴν οἵ γε ἐπὶ τῷ κατειλῆφθαι τὴν ἀλήθειαν αὐχοῦντες τῶν Ἑλλήνων, εἰπάτωσαν ἡμῖν παρὰ τίνος μαθόντες ἀλαζονεύονται. παρὰ Θεοῦ μὲν γὰρ οὐκ ἂν φήσαιεν· παρὰ ἀνθρώπων δὲ, ὁμολογοῦσιν· καὶ εἰ τοῦτο, ἤ τοι γε παρ' ἑαυτῶν, ὀψὲ ἐκμαθόντες, ὥςπερ ἀμέλει καὶ τετυφωμένοι τινὲς αὐτῶν αὐχοῦσιν· ἢ παρ' ἑτέρων τῶν ὁμοίων. ἀλλ' οὐκ ἐχέγγυοι διδάσκαλοι περὶ Θεοῦ λέγοντες ἄνθρωποι, καθὸ ἄνθρωποι· οὐ γὰρ ἀξιόχρεώς γε, ἄνθρωπός τε ὢν, καὶ περὶ Θεοῦ τἀληθῆ λέγειν, ὁ ἀσθενὴς καὶ ἐπίκηρος περὶ τοῦ ἀγεννήτου, καὶ ἀφθάρτου, καὶ τὸ ἔργον περὶ τοῦ πεποιηκότος. εἶθ', ὁ μὴ περὶ αὐτοῦ τἀληθῆ λέγειν δυνάμενος, ἆρ' οὐ πλέον οὐδὲ τὰ περὶ Θεοῦ πιστευτέος; ὅσον γὰρ δυνάμει Θεοῦ λείπεται ἄνθρωπος, τοσοῦτον καὶ ὁ λόγος αὐτοῦ ἐξασθενεῖ, κἂν μὴ Θεὸν, ἀλλὰ περὶ Θεοῦ λέγῃ καὶ τοῦ θείου λόγου. ἀσθενὴς γὰρ φύσει ὁ ἀνθρώπειος λόγος, καὶ ἀδύνατος φράσαι Θεόν· οὐ τοὔνομα λέγω· κοινὸν γὰρ τοῦτο οὐ φιλοσόφων μόνον ὀνομάζειν, ἀλλὰ καὶ ποιητῶν· οὐδὲ τὴν οὐσίαν· ἀδύνατον γάρ· ἀλλὰ τὴν δύναμιν καὶ τὰ ἔργα τοῦ Θεοῦ. καί τοι ἐπιγραφόμενοι Θεὸν διδάσκαλον, μόγις εἰς ἔννοιαν ἀφικνοῦνται Θεοῦ·

τῆς

τῆς χάριτος αὐτοὺς συλλαμβανούσης εἰς ποσὴν ἐπίγνωσιν· οἷον θελήματι, θέλημα, καὶ τῷ ἁγίῳ πνεύματι, τὸ ἅγιον πνεῦμα θεωρεῖν ἐθίζοντες· ὅτι πνεῦμα τὰ βάθη τοῦ Θεοῦ ἐρευνᾷ, ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος. μόνη τοίνυν ἡ παρ' ἡμῖν θεοδίδακτός ἐστι σοφία· ἀφ' ἧς αἱ πᾶσαι πηγαὶ τῆς σοφίας ἤρτηνται, ὅσαι γε τῆς ἀληθείας στοχάζονται. ἀμέλει ὡς ἂν τοῦ κυρίου ἥκοντος εἰς ἀνθρώπους τοῦ διδάξαντος ἡμᾶς, μυρίοι σημάντορες, καταγγελεῖς, ἑτοιμασταὶ, πρόδρομοι, ἄνωθεν ἐκ καταβολῆς κόσμου, δι' ἔργων, διὰ λόγων προμηνύοντες, προφητεύοντες ἐλεύσεσθαι, καὶ ποῦ, καὶ πῶς, καὶ τίνα τὰ σημεῖα. ἀμέλει πόῤῥωθεν προμελετᾷ ὁ νόμος, καὶ προφητεία· ἔπειτα δὲ, ὁ πρόδρομος δείκνυσι τὸν παρόντα· μεθ' ὃν οἱ κήρυκες τῆς ἐπιφανείας τὴν δύναμιν ἐκδιδάσκοντες, μηνύουσιν μόνοις, καὶ οὐδὲ τούτοις ἅπασιν ἤρεσαν, ἀλλὰ Πλάτωνι μὲν Σωκράτης, καὶ Ξενοκράτει Πλάτων, Αριστοτέλης Θεοφράστῳ, καὶ Κλεάνθει Ζήνων· οἳ τοὺς ἰδίους μόνον αἱρετιστὰς ἔπεισαν· ὁ δέ γε τοῦ διδασκάλου τοῦ ἡμετέρου λόγος, οὐκ ἔμεινεν ἐν Ιουδαίᾳ μόνῃ, καθάπερ ἐν τῇ Ελλάδι ἡ φιλοσοφία. ἐχύθη δὲ ἀνὰ πᾶσαν τὴν οἰκουμένην, πείθων Ελλήνων τε ὁμοῦ καὶ βαρβάρων, κατὰ ἔθνος καὶ κώμην, καὶ πόλιν πᾶσαν, οἴκους ὅλους, καὶ ἰδίᾳ ἕκαστον τῶν ἐπακηκοότων, καὶ αὐτῶν γε τῶν φιλοσόφων οὐκ ὀλίγους ἤδη ἐπὶ τὴν ἀλήθειαν μεθιστάς. καὶ τὴν μὲν φιλοσοφίαν τὴν Ελληνικὴν ἐὰν ὁ τυχὼν ἄρχων κωλύσῃ, οἴχεται παραχρῆμα· τὴν δὴ ἡμετέραν διδασκαλίαν ἔκτοτε σὺν καὶ τῇ πρώτῃ καταγγελίᾳ κωλύουσιν ὁμοῦ βασιλεῖς, καὶ τύραννοι, καὶ οἱ κατὰ μέρος ἄρχοντες καὶ ἡγεμόνες

νες μετὰ τῶν μισθοφόρων ἁπάντων, πρὸς δὲ καὶ τῶν ἀπείρων ἀνθρώπων, καταστρατευόμενοί τε ἡμῶν, καὶ ὅση δύναμις ἐκκόπτειν πειρώμενοι· ἡ δὲ, καὶ μᾶλλον ἀνθεῖ· οὐ γὰρ ὡς ἀνθρωπίνη ἀποθνήσκει διδασκαλία, οὐδ' ὡς ἀσθενὴς μαραίνεται δωρεά· οὐδεμία γὰρ ἀσθενὴς δωρεὰ Θεοῦ· μένει δὲ ἀκώλυτος, διωχθήσεσθαι εἰς τέλος προφητευθεῖσα. εἶτα περὶ μὲν ποιητικῆς Πλάτων, Κοῦφον γάρ τι χρῆμα καὶ ἱερὸν ποιητὴς, γράφει· καὶ οὐχ οἷός τε ποιεῖν, πρὶν ἂν ἔνθεός τε καὶ ἔκφρων γένηται. καὶ ὁ Δημόκριτος ὁμοίως· Ποιητὴς δὲ ἅσσα μὲν ἂν γράφῃ μετ' ἐνθουσιασμοῦ, καὶ ἱεροῦ πνεύματος, καλὰ κάρτα ἐστίν. ἴσμεν δὲ οἷα ποιηταὶ λέγουσιν. τοὺς δὲ τοῦ παντοκράτορος προφήτας Θεοῦ, οὐκ ἄν τις καταπλαγείη, ὄργανα θείας γενομένους φωνῆς; καθάπερ οὖν ἀνδριάντα ἀποπλασάμενοι τοῦ γνωστικοῦ, ἤδη μὲν ἐπεδείξαμεν ὅς ἐστι, μέγεθός τε καὶ κάλλος ἤθους αὐτοῦ, ὡς ἐν ὑπογραφῇ, δηλώσαντες· ὁποῖος γὰρ, κατὰ τὴν θεωρίαν ἐν τοῖς φυσικοῖς, μεταταῦτα δηλωθήσεται, ἐπὰν περὶ γενέσεως κόσμου διαλαμβάνειν ἀρξώμεθα.

SEC-

SECTIO ALTERA.

PATRES GRAECI ANTIOCHENI.

SELECTA
PATRUM ANTIOCHENORUM.

I.

E Chrysostomi
Homiliis: *de laudibus Pauli Apostoli.*

ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΑΠΟΣΤΟΛΟΝ
ΠΑΥΛΟΝ.

ΟΜΙΛΙΑ α'.

Οὐκ ἄν τις ἁμάρτοι λειμῶνα ἀρετῶν καὶ παράδεισον πνευματικὸν καλέσας τὴν Παύλου ψυχήν· οὕτω πολὺ μὲν ἤνθει τῇ χάριτι, ἀξίαν δὲ τῆς χάριτος ἐπεδείκνυτο τῆς ψυχῆς τὴν φιλοσοφίαν. Ἐπειδὴ γὰρ σκεῦος ἐκλογῆς γέγονε, καὶ καλῶς ἑαυτὸν ἐξεκάθηρε, δαψιλὴς ἡ τοῦ Πνεύματος ἐξεχύθη εἰς αὐτὸν δωρεά· Ὅθεν ἡμῖν καὶ τοὺς θαυμαστοὺς ἔτεκε ποταμούς, οὐ κατὰ τὴν τοῦ παραδείσου πηγὴν τέσσαρας μόνους, ἀλλὰ πολλῷ πλείστους καθ' ἑκάστην ῥέοντας τὴν ἡμέραν, οὐ τὴν γῆν ἄρδοντας, ἀλλὰ τὰς τῶν ἀνθρώπων ψυχὰς εἰς καρπογονίαν ἀρετῆς διεγείροντας. Τίς οὖν ἀρ-

κέ-

κέσει λόγος τοῖς τούτου κατορθώμασιν; ἢ ποία δυνήσεται γλῶσσα ἐφικέσθαι τῶν ἐγκωμίων ἐκείνου; Ὅταν γὰρ ἅπαντα τὰ ἐν ἀνθρώποις καλὰ συλλαβοῦσα ἔχῃ ψυχὴ μία, καὶ πάντα μεθ' ὑπερβολῆς, οὐ μόνον δὲ τὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τὰ τῶν ἀγγέλων, πῶς περιεσόμεθα τοῦ μεγέθους τῶν ἐγκωμίων; Οὐ μὴν διὰ τοῦτο σιγήσομεν, ἀλλὰ δι' αὐτὸ, καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιϛα ἐροῦμεν. Καὶ γὰρ καὶ τοῦτο ἐγκωμίου μέγιϛον εἶδος, τὸ νικᾶν τῶν κατορθωμάτων τὸ μέγεθος μετὰ πάσης περιουσίας τοῦ λόγου τὴν εὐκολίαν, καὶ ἡ ἧττα μυρίων τροπαίων ἐϛὶν ἡμῖν λαμπροτέρα.

Πόθεν οὖν εὔκαιρον εἴη ἂν ἅψασθαι τῶν ἐγκωμίων; Πόθεν ἄλλοθεν, ἢ ἀπ' αὐτοῦ τούτου πρώτου, τοῦ δεῖξαι τὰ ἁπάντων ἔχοντα ἀγαθά; Εἴτε γὰρ προφῆται ἐπεδείξαντό τι γενναῖον, εἴτε πατριάρχαι, εἴτε δίκαιοι, εἴτε ἀπόϛολοι, εἴτε μάρτυρες, πάντα ταῦτα ὁμοῦ συλλαβὼν ἔχει μετὰ τοσαύτης ὑπερβολῆς, μεθ' ὅσης οὐδεὶς ἐκείνων, ὅπερ ἕκαϛος εἶχε καλὸν, ἐκέκτητο. Σκόπει δὲ· προσήνεγκεν Ἄβελ θυσίαν, καὶ ἐντεῦθεν ἀνακηρύττεται. Ἀλλ' ἐὰν τὴν Παύλου θυσίαν εἰς μέσον ἀγάγῃς, τοσοῦτον δείκνυται βελτίων ἐκείνης, ὅσον τῆς γῆς ὁ οὐρανός.

Ποίαν οὖν βούλεσθε εἴπω; οὐδὲ γὰρ μία μόνον ἐϛί. Καὶ γὰρ ἑαυτὸν καθ' ἑκάϛην κατέθυεν ἡμέραν, καὶ ταύτην πάλιν διπλῆν ἐποίει τὴν προσφοράν· τοῦτο μὲν καθ' ἑκάϛην ἡμέραν ἀποθνήσκων, τοῦτο δὲ τὴν νέκρωσιν ἐν τῷ σώματι αὐτοῦ περιφέρων. Καὶ γὰρ πρὸς κινδύνους διηνεκῶς παρετάττετο, καὶ ἐσφάττετο τῇ προαιρέσει, καὶ τῆς σαρκὸς τὴν φύσιν οὕτως ἐνέκρωσεν,

ὡς

ὡς τῶν σφαγιαζομένων ἱερείων μηδὲν ἔλαττον διακεῖσθαι, ἀλλὰ καὶ πολλῷ πλέον. Οὐδὲ γὰρ βοῦς καὶ πρόβατα προσέφερεν, ἀλλ' ἑαυτὸν διπλῇ καθ' ἑκάστην ἐσφαγίαζε τὴν ἡμέραν. Διὸ καὶ ἐθάῤῥησεν εἰπεῖν· Ἐγὼ γὰρ ἤδη σπένδομαι, σπονδὴν ἑαυτοῦ τὸ αἷμα καλέσας. Οὐ μὴν ἠρκέσθη ταῖς θυσίαις ταύταις, ἀλλ' ἐπειδὴ καλῶς ἑαυτὸν καθιέρωσε, καὶ τὴν οἰκουμένην προσήνεγκε, καὶ γῆν καὶ θάλατταν, καὶ Ἑλλάδα καὶ Βάρβαρον, καὶ πᾶσαν ἁπαξαπλῶς ὅσην ἥλιος ἐφορᾷ γῆν, ταύτην, καθάπερ ὑπόπτερός τις γενόμενος, ἐπῆλθε πᾶσαν, οὐχ ἁπλῶς ὁδοιπορῶν, ἀλλὰ τὰς ἀκάνθας τῶν ἁμαρτημάτων ἀνασπῶν, καὶ τὸν λόγον τῆς εὐσεβείας κατασπείρων, τὴν πλάνην ἀπελαύνων, τὴν ἀλήθειαν ἐπανάγων, ἐξ ἀνθρώπων ἀγγέλους ποιῶν, μᾶλλον δὲ ἀπὸ δαιμόνων ἀγγέλους τοὺς ἀνθρώπους. Διὸ καὶ μέλλων ἀπιέναι μετὰ τοὺς πολλοὺς ἱδρῶτας καὶ τὰ πυκνὰ ταῦτα τρόπαια, παραμυθούμενος τοὺς μαθητὰς, ἔλεγεν. Εἰ καὶ σπένδομαι ἐπὶ τῇ θυσίᾳ καὶ λειτουργίᾳ τῆς πίστεως ὑμῶν, χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν, Διὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι. Τί τοίνυν γένοιτ' ἂν τῆς θυσίας ταύτης ἴσον, ἣν τὴν μάχαιράν τοῦ Πνεύματος σπασάμενος ἔθυσεν, ἣν ἐν τῷ θυσιαστηρίῳ προσήγαγε τῷ ὑπεράνω τῶν οὐρανῶν; Ἀλλ' ἀνῃρέθη δολοφονηθεὶς ὑπὸ τοῦ Κάϊν ὁ Ἄβελ, καὶ ταύτῃ λαμπρότερος γέγονεν; Ἀλλ' ἐγώ σοι μυρίους ἠρίθμησα θανάτους, καὶ τοσούτους, ὅσας ἡμέρας κηρύττων, ἔζησεν ὁ μακάριος οὗτος. Εἰ δὲ καὶ τὴν μέχρι τῆς πείρας αὐτῆς προελθοῦσαν βούλει μαθεῖν σφαγὴν, ἐκεῖνος μὲν ὑπὸ τοῦ ἀδελφοῦ μήτε ἀδικηθέντος μήτε εὐεργετηθέντος κατέπεσεν· οὗτος δὲ ὑπὸ τούτων ἀνῃρεῖτο, οὓς

ἐξαρ-

ἐξαρπάσαι τῶν μυρίων ἐπείγετο κακῶν, καὶ δι' οὓς πάντα ἔπασχεν, ἅπερ ἔπαθεν.

Ἀλλὰ Νῶε δίκαιος, τέλειος ἐν τῇ γενεᾷ αὐτοῦ, καὶ μόνος ἐν ἅπασι τοιοῦτος ἦν; Ἀλλὰ καὶ Παῦλος μόνος ἐν ἅπασι τοιοῦτος. Καὶ ἐκεῖνος μὲν ἑαυτὸν μετὰ τῶν παίδων διέσωσε μόνον· οὗτος δὲ, πολὺ χαλεπωτέρου τὴν οἰκουμένην κατακλυσμοῦ καταλαβόντος, οὐ σανίδας πηξάμενος καὶ κιβωτὸν ποιήσας, ἀλλ' ἀντὶ σανίδων τὰς ἐπιστολὰς συνθεὶς, οὐ δύο καὶ τρεῖς καὶ πέντε συγγενεῖς, ἀλλὰ τὴν οἰκουμένην ἅπασαν, καταποντίζεσθαι μέλλουσαν, ἐκ μέσων ἥρπασε τῶν κυμάτων· Οὐδὲ γὰρ τοιαύτη ἦν ἡ κιβωτὸς, ὡς ἐν ἑνὶ περιφέρεσθαι τόπῳ, ἀλλὰ τὰ τέρματα τῆς οἰκουμένης κατέλαβε, καὶ ἐξ ἐκείνου πάντας εἰσάγει μέχρι τοῦ νῦν εἰς τὴν λάρνακα ταύτην. Σύμμετρον γὰρ τῷ πλήθει τῶν σωζομένων αὐτὴν κατασκευάσας, δεχόμενος ἀλόγων ἀνοητοτέρους, ταῖς ἄνω δυνάμεσιν ἐφαμίλλους ἐργάζεται, καὶ ταύτῃ νικῶν τὴν κιβωτὸν ἐκείνην. Ἐκείνη μὲν γὰρ κόρακα λαβοῦσα, κόρακα πάλιν ἐξέπεμψε, καὶ λύκον ὑποδεξαμένη, τὴν θηριωδίαν οὐ μετέβαλεν. Οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ λαβὼν λύκους, πρόβατα εἰργάσατο, καὶ λαβὼν ἱέρακας καὶ κολοιοὺς, περιστερὰς τούτους ἀπετέλεσε, καὶ πᾶσαν ἀλογίαν καὶ θηριωδίαν τῆς τῶν ἀνθρώπων φύσεως ἐκβαλὼν, τὴν τοῦ Πνεύματος ἐπεισήγαγεν ἡμερότητα, καὶ μέχρι νῦν μένει πλέουσα ἡ κιβωτὸς αὕτη, καὶ οὐ διαλύεται. Οὐδὲ γὰρ ἴσχυσεν αὐτῆς τὰς σανίδας χαυνῶσαι τῆς κακίας ὁ χειμὼν, ἀλλ' ὑπερπλέουσα μᾶλλον τοῦ χειμῶνος, τὴν ζάλην κατέλυσε. Καὶ μάλα εἰκότως· οὐ γὰρ ἀσφάλτῳ καὶ πίσσῃ, ἀλλὰ Πνεύματι ἁγίῳ κεχρισμέναι αἱ σανίδες αὗται εἰσιν.

Ἀλ-

Ἀλλὰ τὸν Ἀβραὰμ θαυμάζουσιν ἅπαντες, ὅτι ἀκούσας, Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου, ἀφῆκε πατρίδα, καὶ οἰκίαν, καὶ φίλους, καὶ συγγενεῖς, καὶ πάντα ἦν αὐτῷ τὸ ἐπίταγμα τοῦ Θεοῦ· καὶ γὰρ καὶ ἡμεῖς τοῦτο θαυμάζομεν. Ἀλλὰ τί Παύλου γένοιτ' ἂν ἴσον; Ὃς οὐ πατρίδα καὶ οἰκίαν καὶ συγγενεῖς ἀφῆκεν, ἀλλ' αὐτὸν τὸν κόσμον διὰ τὸν Ἰησοῦν, μᾶλλον δὲ αὐτὸν τὸν οὐρανὸν, καὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ ὑπερεῖδε, καὶ ἓν μόνον ἐζήτει, τοῦ Ἰησοῦ τὴν ἀγάπην. Καὶ ἄκουε αὐτοῦ τοῦτο δηλοῦντος καὶ λέγοντος· Οὔτε ἐνεστῶτα, οὔτε μέλλοντα, οὔτε ὕψωμα, οὔτε βάθος δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ. Ἀλλ' ἐκεῖνος εἰς κινδύνους ῥίψας ἑαυτὸν, τὸν ἀδελφιδοῦν ἐξήρπασε τῶν βαρβάρων; Ἀλλ' οὗτος οὐ τὸν ἀδελφιδοῦν, οὐδὲ τρεῖς καὶ πέντε πόλεις, ἀλλὰ τὴν οἰκουμένην πᾶσαν, οὐκ ἀπὸ βαρβάρων, ἀλλ' ἀπ' αὐτῆς τῆς τῶν δαιμόνων ἐξήρπασε χειρὸς, μυρίους καθ' ἑκάστην ὑπομένων κινδύνους, καὶ τοῖς οἰκείοις θανάτοις ἑτέροις πολλὴν ἀσφάλειαν κτώμενος. Ἀλλ' ἐκεῖ τὸ κεφάλαιον τῶν ἀγαθῶν ἐστι καὶ ἡ κορωνὶς τῆς φιλοσοφίας, τὸ τὸν υἱὸν καταθῦσαι; Ἀλλὰ καὶ ἐνταῦθα τὰ πρωτεῖα παρὰ τῷ Παύλῳ ὄντα εὑρήσομεν· οὐ γὰρ υἱὸν, ἀλλ' ἑαυτὸν μυριάκις κατέθυσεν, ὅπερ ἔφθην εἰπών.

Τί ἂν τις θαυμάσειε τοῦ Ἰσαάκ; Πολλὰ μὲν καὶ ἄλλα, μάλιστα δὲ τὴν ἀνεξικακίαν, ὅτι φρέατα ὀρύττων, καὶ τῶν οἰκείων ἐλαυνόμενος ὅρων, οὐκ ἐπεξῄει, ἀλλὰ καὶ καταχωννύμενα ὁρῶν ἠνείχετο, καὶ πρὸς ἕτερον ἀεὶ μεθίστατο τόπον, οὐχ ὁμόσε [ἀεὶ] τοῖς λυποῦσι χωρῶν, ἀλλ' ἐξιστάμενος καὶ παραχωρῶν πανταχοῦ τῶν οἰκείων κτημάτων, ἕως αὐτῶν τὴν ἄδικον

ἐκόρεσεν ἐπιθυμίαν. Ἀλλ' ὁ Παῦλος, οὐ φρέατα λίθοις καταχωννύμενα ὁρῶν, ἀλλὰ τὸ ἑαυτοῦ σῶμα, οὐ παρεχώρει, καθάπερ ἐκεινος, μόνον, ἀλλ' εἰσιὼν τοὺς λίθοις βάλλοντας αὐτὸν εἰς τὸν οὐρανὸν ἀνάγειν ἐφιλονείκει· ὅσῳ γὰρ κατεχώννυτο ἡ πηγὴ, τοσούτῳ μᾶλλον ἐξεῤῥήγνυτο, καὶ πλείους ἐξέχεε ποταμοὺς εἰς ὑπομονήν.

Ἀλλὰ τὸν παῖδα τὸν τούτου θαυμάζει τῆς καρτερίας ἡ Γραφή; Καὶ ποία ἀδαμαντίνη ψυχὴ τὴν Παύλου δύναιτ' ἂν ἐπιδείξασθαι ὑπομονήν; Οὐδὲ γὰρ δὶς ἑπτὰ ἔτη ἐδούλευσεν, ἀλλὰ τον πάντα βίον ὑπὲρ τῆς τοῦ Χριϛοῦ νύμφης, οὐ συγκαιόμενος μόνον τῷ καύματι τῆς ἡμέρας, καὶ τῷ παγετῷ τῆς νυκτὸς, ἀλλὰ μυρίας νιφάδας πειρασμῶν ὑπομένων, νῦν μὲν μάϛιγας λαμβάνων, νῦν δὲ λίθοις τὸ σῶμα βαλλόμενος, καὶ νῦν μὲν θηρίοις μαχόμενος, νῦν δὲ πελάγει πυκτεύων, καὶ λιμῷ διηνεκεῖ ἡμέρας καὶ νυκτὸς, καὶ κρυμῷ, καὶ πανταχοῦ ὑπὲρ τὰ σκάμματα πηδῶν, καὶ τὰ πρόβατα ἀπὸ τῆς τοῦ διαβόλου φάρυγγος ἀφαρπάζων.

Ἀλλὰ σώφρων ὁ Ἰωσήφ; Ἀλλὰ δέδοικα μὴ γέλως ᾖ τὸν Παῦλον ἐντεῦθεν ἐγκωμιάζειν, ὃς ἐϛαύρωσεν ἑαυτὸν τῷ κόσμῳ, καὶ οὐ τὰ λαμπρὰ ἐν τοῖς σώμασι μόνον, ἀλλὰ πάντα τὰ πράγματα οὕτως ἑώρα, ὡς ἡμεῖς τὴν κόνιν καὶ τὴν τέφραν, καὶ ὡς ἂν νεκρὸς πρὸς νεκρὸν ἀκίνητος γένοιτο. Οὕτω μετὰ ἀκριβείας τῆς φύσεως τὰ σκιρτήματα κατευνάζων, οὐδὲν οὐδέποτε πρὸς οὐδὲν ἀνθρώπινον πάθος ἔπαθεν.

Ἐκπλήττονται τὸν Ἰὼβ ἅπαντες ἄνθρωποι; Καὶ μάλα εἰκότως· καὶ γὰρ μέγας ἀθλητὴς, καὶ πρὸς αὐτὸν τὸν Παῦλον παρισοῦσθαι δυνάμενος, διὰ τὴν ὑπομονὴν, διὰ

τὴν

τὴν τοῦ βίου καθαρότητα, διὰ τὴν τοῦ Θεοῦ μαρτυρίαν, διὰ τὴν καρτερὰν μάχην ἐκείνην, διὰ τὴν θαυμαστὴν νίκην τὴν μετὰ τὴν μάχην. Ἀλλὰ Παῦλος οὐχὶ μῆνας πολλοὺς ἀγωνιζόμενος οὕτω διῆγεν, ἀλλ' ἔτη πολλὰ, οὐχὶ τήκων βώλακας γῆς ἀπὸ ἰχῶρος καὶ ἐπὶ κοπρίας καθήμενος, ἀλλ' εἰς αὐτὸ τοῦ λέοντος τὸ νοητὸν στόμα συνεχῶς ἐμπίπτων, καὶ μυρίοις παλαίων πειρασμοῖς, πάσης πέτρας στεῤῥότερος ἦν· οὐχὶ παρὰ τριῶν φίλων, ἢ τεσσάρων, ἀλλὰ παρὰ πάντων ὀνειδιζόμενος τῶν ἀπιστούντων ψευδαδέλφων, ἐμπτυόμενος, λοιδορούμενος. Ἀλλ' ἡ φιλοξενία τοῦ Ἰὼβ μεγάλη, καὶ ἡ πρὸς τοὺς δεομένους κηδεμονία; Οὐδὲ ἡμεῖς ἀντεροῦμεν· ἀλλὰ τῆς Παύλου τοσοῦτον καταδεεστέραν εὑρήσομεν, ὅσον ψυχῆς σῶμα[?] ἀφέστηκεν. Ἃ γὰρ ἐκεῖνος περὶ τοὺς τὴν σάρκα πεπηρωμένους ἐπεδείκνυτο, ταῦτα οὗτος περὶ τοὺς τὴν ψυχὴν λελωβημένους ἔπραττε, πάντας τοὺς χωλοὺς καὶ ἀναπήρους τὸν λογισμὸν διορθούμενος, καὶ τοὺς γυμνοὺς καὶ ἀσχημονοῦντας περιβάλλων τῇ τῆς φιλοσοφίας στολῇ· καὶ ἐν τοῖς σωματικοῖς δὲ τοσοῦτον αὐτοῦ περιῆν, ὅσῳ πολλῷ μεῖζον τὸν πενίᾳ συζῶντα καὶ λιμῷ βοηθεῖν τοῖς δεομένοις, τοῦ ἐκ περιουσίας τοῦτο ποιεῖν· καὶ τοῦ μὲν ἡ οἰκία παντὶ ἐλθόντι ἀνέῳκτο, τοῦ δὲ ἡ ψυχὴ πάσῃ τῇ οἰκουμένῃ ἥπλωτο, καὶ ὁλοκλήρους δήμους ὑπεδέχετο. Διὸ καὶ ἔλεγεν· Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν. Καὶ ὁ μὲν, προβάτων αὐτῷ καὶ βοῶν ὄντων ἀπείρων, φιλότιμος περὶ τοὺς δεομένους ἦν· οὗτος δὲ, οὐδὲν πλέον κεκτημένος τοῦ σώματος, ἀπ' αὐτοῦ τούτου τοῖς δεομένοις ἐπήρκει, καὶ βοᾷ λέγων.[?] Ταῖς χρείαις μου καὶ τοῖς οὖσι μετ' ἐμοῦ ὑπηρέτησαν αἱ χεῖρες αὗται,

τὴν

τὴν ἀπὸ τοῦ σώματος ἐργασίαν πρόσοδον τοῖς πεινῶσι καὶ λιμώττουσι κεκτημένος. Ἀλλὰ οἱ σκώληκες καὶ τὰ τραύματα χαλεπὰς καὶ ἀκαρτερήτους παρεῖχον τῷ Ἰὼβ τὰς ὀδύνας; Ὁμολογῶ κἀγώ· ἀλλ' ἐὰν τὰς ἐν τοσούτοις ἔτεσι τοῦ Παύλου μάστιγας, καὶ τὸν λιμὸν τὸν διηνεκῆ, καὶ τὴν γυμνότητα, καὶ τὰς ἁλύσεις, καὶ τὸ δεσμωτήριον, καὶ τοὺς κινδύνους, καὶ τὰς ἐπιβουλὰς, τὰς παρὰ τῶν οἰκείων, τὰς παρὰ τῶν ἀλλοτρίων, τὰς παρὰ τῶν τυράννων, τὰς παρὰ τῆς οἰκουμένης ἁπάσης ἀντιθῆς, καὶ μετὰ τούτων τὰ τούτων πικρότερα, λέγω δὴ τὰς ὑπὲρ τῶν πιπτόντων ὀδύνας, τὴν φροντίδα τῶν Ἐκκλησιῶν πασῶν, τὴν πύρωσιν, ἣν ὑπὲρ ἑκάστου τῶν σκανδαλιζομένων ὑπέμενεν, ὄψει πῶς πέτρας στεῤῥοτέρα ἦν ἡ ταῦτα φέρουσα ψυχὴ, καὶ σίδηρον καὶ ἀδάμαντα ἐνίκα. Ἅπερ οὖν ἐκεῖνος ἔπασχεν ἐν τῷ σώματι, ταῦτα οὗτος ἐν τῇ ψυχῇ, καὶ σκώληκος παντὸς χαλεπώτερον ἡ καθ' ἕκαστον τῶν σκανδαλιζομένων ἀθυμία διέτρωγεν αὐτοῦ τὴν ψυχήν. Ὅθεν καὶ πηγὰς δακρύων ἠφίει διηνεκεῖς, οὐ τὰς ἡμέρας μόνον, ἀλλὰ καὶ τὰς νύκτας, καὶ πάσης γυναικὸς ὠδινούσης δριμύτερον διεσπᾶτο καὶ καθ' ἕκαστον αὐτῶν. Διὸ καὶ ἔλεγε, Τεκνία μου, οὓς πάλιν ὠδίνω.

Τίνα ἄν τις μετὰ τον Ἰὼβ ἐκπλαγείη; Τον Μωϋσέα πάντως. Ἀλλὰ καὶ τοῦτον ἐκ πολλοῦ τοῦ περιόντος ὑπερηκόντισε· μεγάλα μὲν γὰρ αὐτοῦ καὶ τὰ ἄλλα, τὸ δὲ κεφάλαιον καὶ ἡ κορωνὶς τῆς ἁγίας ψυχῆς ἐκείνης, ὅτι ἐξαλειφθῆναι εἵλετο τῆς τοῦ θεοῦ βίβλου ὑπὲρ τῆς σωτηρίας τῶν Ἰουδαίων. Ἀλλ' οὗτος μὲν συναπολέσθαι ἑτέροις ἡρεῖτο· ὁ δὲ Παῦλος οὐ συναπολέσθαι, ἀλλ', ἑτέρων σωζομένων, αὐτὸς ἐκπεσεῖν τῆς δόξης τῆς ἀπεράν

ραντου. Καὶ ὁ μὲν τῷ Φαραὼ, ὁ δὲ τῷ διαβόλῳ καθ' ἡμέραν ἐπύκτευε· καὶ ὁ μὲν ὑπὲρ ἑνὸς ἔθνους, ὁ δὲ ὑπὲρ τῆς οἰκουμένης ἁπάσης ἔκαμεν, οὐχ ἱδρῶτι, ἀλλὰ καὶ αἵματι ἀντὶ ἱδρῶτος πάντοθεν περιῤῥεόμενος, οὐχὶ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοίκητον διορθούμενος, οὐχὶ τὴν Ἑλλάδα μόνον, ἀλλὰ καὶ τὴν βάρβαρον.

Ἐνῆν καὶ τὸν Ἰησοῦν εἰς μέσον παραγαγεῖν, καὶ τὸν Σαμουὴλ, καὶ τοὺς ἄλλους προφήτας· ἀλλ' ἵνα μὴ μακρότερον ποιῶμεν τὸν λόγον, ἐπὶ τοὺς κορυφαίους αὐτῶν βαδίσωμεν· ὅταν γὰρ τούτων φανῇ κρείττων, οὐδεμία περὶ τῶν ἄλλων ἀμφισβήτησις λείπεται. Τίνες οὖν οἱ κορυφαῖοι; Τίνες δὲ ἄλλοι μετὰ τούτους, ἢ ὁ Δαυὶδ, καὶ ὁ Ἠλίας, καὶ ὁ Ἰωάννης; ὧν ὁ μὲν τῆς προτέρας, ὁ δὲ τῆς δευτέρας πρόδρομος τοῦ Κυρίου παρουσίας. Διὸ καὶ τῆς προσηγορίας ἀλλήλοις ἐκοινώνησαν. Τί οὖν τὸ ἐξαίρετον τοῦ Δαυὶδ; Ἡ ταπεινοφροσύνη καὶ ὁ πρὸς θεὸν ἔρως. Καὶ τίς μὲν μᾶλλον, τίς δὲ οὐχ ἧττον τῆς Παύλου ψυχῆς ἀμφότερα ταῦτα κατώρθωσε; Τί δὲ τὸ θαυμαστὸν του Ἠλίου; Ἆρα ὅτι τὸν οὐρανὸν ἔκλεισε, καὶ λιμὸν ἐπήγαγε, καὶ πῦρ κατήγαγεν; Οὐκ ἔγωγε οἶμαι· ἀλλ' ὅτι ἐζήλωσεν ὑπὲρ τοῦ Δεσπότου, καὶ πυρὸς σφοδρότερος ἦν. Ἀλλ' εἰ τὸν Παύλου ζῆλον ἴδοις, τοσοῦτον ὄψει κρατοῦντα, ὅσον ἐκεῖνος τῶν ἄλλων προφητῶν περιῆν. Τί γὰρ ἂν γένοιτο τῶν ῥημάτων ἐκείνων ἴσον, ἅπερ ὑπὲρ τῆς του Δεσπότου δόξης ζηλῶν ἔλεγεν, ὅτι Ηὐχόμην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα; διὰ τοῦτο τῶν οὐρανῶν αὐτῷ προκειμένων, καὶ τῶν στεφάνων, καὶ τῶν ἐπάθλων, ἔμελλε καὶ ἐβράδυνε λέ-

λέγων, Τὸ ἐπιμεῖναι τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς. Διὰ τοῦτο οὐδὲ τὴν κτίσιν ταύτην τὴν ὁρωμένην, ἀλλ' οὐδὲ τὴν νοητὴν ἐνόμισεν ἀρκεῖν εἰς παράςασιν τῆς ἀγάπης καὶ τοῦ ζήλου, ἀλλὰ καὶ ἑτέραν οὐκ οὖσαν ἐζήτει, ὥςε ἐνδείξασθαι ὅπερ ἤθελε καὶ ἐπεθύμει.

'Αλλ' ὁ 'Ιωάννης ἀκρίδας ἤσθιε, καὶ μέλι ἄγριον; 'Αλλ' οὗτος ἐν μέσῃ τῇ οἰκουμένῃ, καθάπερ ἐκεῖνος ἐν τῇ ἐρήμῳ, διέτριβεν, ἀκρίδας μὲν καὶ μέλι ἄγριον οὐ σιτούμενος, πολὺ δὲ εὐτελεςέραν ταύτης παρατιθέμενος τράπεζαν, καὶ οὐδὲ τῆς ἀναγκαίας εὐπορῶν τροφῆς, διὰ τὴν ὑπὲρ τοῦ κηρύγματος σπουδήν. 'Αλλὰ πολλὴν πρὸς τον 'Ηρώδην οὗτος παῤῥησίαν ἐπεδείξατο; 'Αλλ' οὗτος οὐχ ἕνα καὶ δύο καὶ τρεῖς, ἀλλὰ μυρίους κατ' ἐκεῖνον ἐπεςόμισε, μᾶλλον δὲ καὶ πολλῷ χαλεπωτέρους ἐκείνου τοῦ τυράννου.

Λείπεται πρὸς τοὺς ἀγγέλους αὐτὸν ἐξετάσαι λοιπόν. Διόπερ ἀφέντες τὴν γῆν, πρὸς τὰς τῶν οὐρανῶν ἀναβησώμεθα ἀψῖδας· ἀλλὰ μηδεὶς τόλμαν καταγινωσκέτω τοῦ λόγου.

Εἰ γὰρ καὶ τὸν 'Ιωάννην ἄγγελον ἐκάλεσεν ἡ Γραφὴ, καὶ τοὺς ἱερέας, τί θαυμαςὸν, εἰ τὸν ἁπάντων ἀμείνω ταῖς δυνάμεσι παραβάλλομεν ἐκείναις; Τί οὖν ἐςιν ἐκείνων τὸ μέγα; Ὅτι μετὰ πάσης ἀκριβείας ὑπακούουσι τῷ Θεῷ· ὅπερ καὶ ὁ Δαυὶδ ἐκπληττόμενος ἔλεγε, Δυνατοὶ ἰσχύϊ, ποιοῦντες τὸν λόγον αὐτοῦ. Τούτου γὰρ ἴσον οὐδὲν, κἂν μυριάκις ὦσιν ἀσώματοι· τὸ γὰρ μάλιςα ποιοῦν τούτους μακαρίους, τοῦτό ἐςιν, ὅτι πείθονται τοῖς προςάγμασιν, ὅτι οὐδαμοῦ παρακούουσι. Τοῦτο τοίνυν καὶ ὑπὸ τοῦ Παύλου μετὰ ἀκριβείας ἐςὶν ἰδεῖν φυλαττόμενον· οὐ γὰρ δὴ τὸν λόγον αὐτοῦ ἐποίησε μόνον,

νον, ἀλλὰ καὶ τὰ προςάγματα, καὶ ὑπὲρ τὰ προστάγματα καὶ τοῦτο δηλῶν ἔλεγε. Τίς οὖν μοί ἐςιν ὁ μισθὸς, ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χριςοῦ; Τί ἕτερον θαυμάζων αὐτοὺς ὁ προφήτης ἔλεγεν; Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, φησὶ, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον. Ἀλλὰ καὶ τοῦτο ἐπὶ Παύλου ἐςὶν ἰδεῖν· καθάπερ γὰρ πνεῦμα καὶ πῦρ, οὕτω τὴν οἰκουμένην διέδραμεν ἅπασαν, καὶ τὴν γῆν ἐξεκάθηρεν. Ἀλλ' οὔπω τὸν οὐρανὸν ἔλαχε; Τὸ γὰρ θαυμαςὸν τοῦτο, ὅτι ἐν τῇ γῇ τοιοῦτος ἦν, καὶ σῶμα θνητὸν περικείμενος, πρὸς τὰς ἀσωμάτους ἡμιλλᾶτο δυνάμεις.

Πόσης οὖν οὐκ ἂν εἴημεν καταγνώσεως ἄξιοι, ὅταν ἑνὸς ἀνθρώπου πάντα συνειληχότος ἑαυτῷ τὰ καλὰ, ἡμεῖς οὐδὲ τὸ πολλοςὸν μέρος μιμήσασθαι αὐτὸν σπουδάζωμεν; Ταῦτ' οὖν ἐννοήσαντες καὶ τῆς κατηγορίας ἑαυτοὺς ἀπαλλάξωμεν, καὶ σπουδάσωμεν πρὸς τὸν ἐκείνου ζῆλον ἐλθεῖν, ἵνα δυνηθῶμεν καὶ τῶν αὐτῶν ἀγαθῶν ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.



II.

E Chrysostomi

Homiliis *ad populum Antiochenum.*

ΟΜΙΛΙΑ β'.

Λεχθεῖσα ἐν Ἀντιοχείᾳ ἐν τῇ παλαιᾷ λεγομένῃ ἐκκλησίᾳ, ὄντος αὐτοῦ πρεσβυτέρου, περὶ τῆς συμβάσης συμφορᾶς ἐν τῇ πόλει, ἐπὶ τῇ ἀταξίᾳ τῆς καταςροφῆς τῶν ἀνδριάντων τοῦ Θεοδοσίου τοῦ εὐσεβοῦς βασιλέως τοῦ μεγάλου· καὶ εἰς τὸ ῥητὸν τοῦ ἀποστόλου, Τοῖς πλουσίοις παράγγελλε ἐν τῷ νῦν αἰῶνι μὴ ὑψηλοφρονεῖν· καὶ κατὰ πλεονεξίας.

1. Τί εἴπω καὶ τί λαλήσω; Δακρύων ὁ παρὼν καιρὸς, οὐχὶ ῥημάτων· θρήνων, οὐχὶ λόγων· εὐχῆς, οὐ δημηγορίας· τοιοῦτον τῶν τετολμημένων τὸ μέγεθος, οὕτως ἀνίατον τὸν ἕλκος, οὕτω μέγα τὸ τραῦμα, καὶ πάσης ἰατρείας μεῖζον, καὶ τῆς ἄνωθεν δεόμενον βοηθείας. Οὕτω μὲν ὁ Ἰὼβ ἅπαντα ἀποβαλὼν, ἐπὶ τῆς κοπρίας ἐκάθητε, καὶ ἀκούσαντες οἱ φίλοι παρεγένοντε, καὶ ἰδόντες αὐτὸν πόῤῥωθεν, τὰ ἱμάτια διέῤῥηξαν, καὶ σποδὸν κατεπάσαντο, καὶ μέγα ἀνῴμωξαν. Νῦν τοῦτο τὰς πόλεις ἁπάσας τὰς κύκλῳ ποιῆσαι ἐχρῆν, καὶ πρὸς τὴν πόλιν τὴν ἡμετέραν ἐλθεῖν, καὶ θρηνῆται τὰ γεγενημένα μετὰ συμπαθείας ἁπάσης.

Ἐκει-

Ἐκεῖνος ἐπὶ τῆς κοπρίας ἐκάθητο τότε, αὕτη ἐν μεγάλῃ παγίδι κάθηται νῦν. Καθάπερ γὰρ τότε ὁ διάβολος εἰς τὰ ποίμνια καὶ τὰ βουκόλια, καὶ πᾶσαν ὠρχήσατο τοῦ δικαίου τὴν οὐσίαν· οὕτω νῦν εἰς τὴν πόλιν ἅπασαν ἐβάκχευσεν. Ἀλλ' ὁ Θεὸς καὶ τότε καὶ νῦν συνεχώρησε· τότε μὲν, ἵνα τὸν δίκαιον λαμπρότερον ποιήσῃ τῷ μεγέθει τῶν πειρασμῶν, νῦν δὲ, ἵνα ἡμᾶς σωφρονεστέρους ἐργάσηται τῇ τῆς θλίψεως ταύτης ὑπερβολῇ. Δότε μοι θρηνῆσαι τὰ παρόντα. Ἐσιγήσαμεν ἡμέρας ἑπτὰ, καθάπερ οἱ φίλοι τοῦ Ἰὼβ· δότε μοι στόμα διᾶραι σήμερον, καὶ τὴν κοινὴν ταύτην ὀδύρασθαι συμφορὰν. Τίς ἡμῖν ἐβάσκηνεν, ἀγαπητοί; Τίς ἡμῖν ἐφθόνησε; Πόθεν ἡ τοσαύτη γέγονε μεταβολή; Οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας σεμνότερον ἦν· οὐδὲν γέγονε ἐλεεινότερον νῦν. Δῆμος εὔτακτος οὕτω καὶ ἥμερος, καὶ καθάπερ ἵππος χειροήθης καὶ τιθασσὸς, ἀεὶ ταῖς τῶν ἀρχόντων εἴκων χερσὶν, ἐξαίφνης τοσοῦτον ἡμῖν ἀπεσκίρτησε νῦν, ὡς τοσαῦτα ἐργάσασθαι κακὰ, ἃ μηδὲ εἰπεῖν θέμις. Ὀδύρομαι· καὶ θρηνῶ νῦν, οὐ διὰ τὸ μέγεθος τῆς προσδοκωμένης ἀπειλῆς, ἀλλὰ διὰ τὴν ὑπερβολὴν τῆς γεγενημένης μανίας. Εἰ γὰρ μὴ παροξυνθείη βασιλεὺς, μηδὲ ὀργισθείη, μηδὲ κολάσειε καὶ τιμωρήσαιτο, πῶς οἴσομεν, εἰπέ μοι, τὴν αἰσχύνην τὴν ἀπὸ τῶν γεγενημένων; Διακόπτεταί μοι τῆς διδασκαλίας ὁ λόγος τῷ θρήνῳ· μόλις ἰσχύω διᾶραι στόμα, καὶ ἀνοῖξαι χείλη καὶ κινῆσαι γλῶτταν, καὶ ῥήματα προέσθαι. Οὕτω καθάπερ χαλινὸς ὁ τῆς ἀθυμίας ὄγκος ἀποστρέφει μου τὴν γλῶτταν, καὶ τῶν ῥημάτων ἐπιλαμβάνεται. Οὐδὲν τῆς πόλεως τῆς ἡμετέρας πρότερον μακαριώτερον ἦν, οὐδὲν ἀτερπέστερον γέγονε νῦν. Καθάπερ μέλιτται κη-

κηρίον βομβοῦσαι, οὕτω τὴν ἀγορὰν περιίπταντο καθ' ἑκάςην ἡμέραν οἱ οἰκοῦντες, καὶ πάντες ἡμᾶς ἐπὶ τῷ πλήθει τούτῳ πρότερον ἐμακάριζον· ἀλλ' ἰδοὺ νῦν τὸ κηρίον τοῦτο γέγονεν ἔρημον. Καθάπερ γὰρ τὰς μελίττας ἐκείνας καπνὸς, οὕτω τὰς μελίττας ταύτας φόβος ἀπήλασε· καὶ ὃ περὶ τῆς Ἱερουσαλὴμ θρηνῶν ὁ προφήτης ἔλεγε, τοῦτο καὶ ἡμεῖς εἰς καιρὸν ἐροῦμεν νῦν· Ἐγενήθη ἡμῖν ἡ πόλις, ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων. Καθάπερ γὰρ παράδεισος τῆς ἀρδείας ἐπιλιπούσης, ἔρημα τῶν φύλλων, καὶ γυμνὰ τῶν καρπῶν τὰ δένδρα δείκνυσιν, οὕτω δὴ καὶ ἡ πόλις ἡμῶν γέγονε νῦν· τῆς γὰρ ἄνωθεν βοηθείας ἐγκαταλιπούσης αὐτὴν, ἕςηκεν ἔρημος, γυμνὴ τῶν οἰκητόρων γενομένη σχεδὸν ἁπάντων. Οὐδὲν πατρίδος γλυκύτερον, ἀλλ' οὐδὲν πικρότερον νῦν γέγονε· πάντες τὴν ἐνεγκοῦσαν ὥσπερ παγίδα φεύγουσιν, ὥσπερ βάραθρον ἐγκαταλιμπάνουσιν, ὥσπερ πυρὰς ἀποπηδῶσι· καὶ καθάπερ οἰκίας ἁπτομένης οὐχ οἱ τὴν οἰκίαν οἰκοῦντες μόνον, ἀλλὰ καὶ πάντες οἱ πλησίον μετὰ πολλῆς ἀποπηδῶσι τῆς σπουδῆς, γυμνὸν τὸ σῶμα διασῶσαι σπουδάζοντες· οὕτω δὴ καὶ νῦν τῆς βασιλικῆς ὀργῆς καθάπερ πυρᾶς τινος ἄνωθεν ἥξειν προσδοκωμένης, πρὶν ἐπ' αὐτοὺς ὁδῷ βαδίζον ἔλθῃ τὸ πῦρ, ἕκαςος ἐπείγεται προεξελθεῖν, καὶ γυμνὸν διασῶσαι τὸ σῶμα· καὶ γέγονεν ἡμῶν αἴνιγμα νῦν ἡ συμφορά. Χωρὶς πολεμίων φυγὴ, χωρὶς μάχης μετανάςασις, χωρὶς ἁλώσεως αἰχμαλωσία. οὐκ εἴδομεν βαρβαρικὸν πῦρ, οὐδὲ πολεμίων ὄψιν ἐθεασάμεθα, καὶ τὰ τῶν ἑαλωκότων πάσχομεν. Πάντες νῦν τὰς ἡμετέρας μανθάνουσι συμ-

συμφορὰς· τοὺς γὰρ ἡμετέρους ὑποδεχόμενοι φυγάδας παρ' ἐκείνων τὴν τῆς πόλεως μανθάνουσι πληγήν.

2. Ἀλλ' οὐκ αἰσχύνομαι ἐπὶ τούτῳ, οὐδὲ ἐρυθριῶ. Μανθανέτωσαν ἅπαντες τὰ τῆς πόλεως πάθη, ἵνα συναλγήσαντες τῇ μητέρι κοινὴν ἀπὸ τῆς γῆς ἁπάσης ἀνενέγκωσι τῷ Θεῷ φωνὴν καὶ, ὁμοθυμαδὸν τὴν κοινὴν ἁπάντων μητέρα καὶ τροφὸν παρὰ τοῦ τῶν οὐρανῶν ἐξαιτήσωνται βασιλέως. Ἐσείσθη πρῴην ἡ πόλις, ἀλλὰ νῦν αὐταὶ σαλεύονται τῶν οἰκητόρων αἱ ψυχαί· τότε ἐσείετο τὰ θεμέλια τῶν οἰκημάτων, νῦν αὐτὰ δονεῖται τὰ θεμέλια τῆς ἑκάστου καρδίας. καὶ καθ' ἑκάστην ἡμέραν πρὸ τῶν ὀφθαλμῶν τὸν θάνατον πάντες βλέπομεν, καὶ φόβῳ συζῶμεν διηνεκεῖ, καὶ τὴν τοῦ Κάϊν ὑπομένομεν τιμωρίαν ἐλεεινότερον τῶν ποτὲ τὸ δεσμωτήριον οἰκούντων διακείμενοι, καὶ πολιορκίαν πολιορκούμενοι ξένην τινὰ καὶ καινὴν, καὶ τῆς νενομισμένης δεινοτέραν. Οἱ μὲν γὰρ ὑπὸ τῶν πολεμίων τοῦτο πάσχοντες, ἔσω τειχῶν ἀποκλείονται μόνον, ἡμῖν δὲ καὶ ἡ ἀγορὰ ἄβατος γέγονε, καὶ τοῖς τοίχοις ἕκαστος τῆς οἰκίας ἐναποκέκλεισται τῆς ἑαυτοῦ. Καὶ καθάπερ τοὺς πολιορκουμένους οὐκ ἀσφαλὲς ὑπερβῆναι τὸ τεῖχος, τῶν πολεμίων ἔξω περικαθημένων· οὕτως οὐδὲ πολλοῖς τῶν τὴν πόλιν οἰκούντων ἀσφαλὲς ἐξελθεῖν, οὐδὲ ἐν τῷ μέσῳ φανῆναι, διὰ τοὺς πάντοθεν θηρεύοντας ἀναιτίους καὶ αἰτίους, καὶ ἐκ μέσης ἁρπάζονται τῆς ἀγορᾶς, καὶ πρὸς τὸ δικαστήριον ἁπλῶς, καὶ ὡς ἔτυχεν ἕλκοντας. Διὰ τοῦτο ἐλεύθεροι μετὰ τῶν οἰκετῶν τῶν ἑαυτῶν ἔνδον συμπεποδισμένοι κάθηνται, τίς συνελήφθη, τίς ἀπήχθη, τίς ἐκολάσθη σήμερον; πῶς καὶ τίνι τρόπῳ; μεριμνῶντες

τες

τες καὶ περιεργαζόμενοι παρ' ὧν τὰ τοιαῦτα δυνατὸν μανθάνειν ἀσφαλῶς, καὶ θανάτου παντὸς ἐλεεινότερον ζῶσι βίον, τάς τε ἀλλοτρίας ὀδύρασθαι συμφορὰς ἀναγκαζόμενοι καθ' ἡμέραν, καὶ ὑπὲρ τῆς ἑαυτῶν τρέμοντες σωτηρίας, καὶ νεκρῶν οὐδὲν ἄμεινον διακείμενοι τῷ πάλαι τεθνάναι τῷ δέει. Εἰ δέ τις καὶ τοῦ φόβου τούτου καὶ τῆς ἀγωνίας ἐκτὸς ὢν ἐθελήσειεν εἰς ἀγορὰν ἐμβαλεῖν, ὑπὸ τῆς ὄψεως τῆς ἀτερποῦς εὐθέως εἰς τὴν οἰκίαν εἰσελαύνεται τὴν ἑαυτοῦ, ἕνα που καὶ δύο μόλις ὁρῶν συγκεκυφότας, καὶ μετὰ πολλῆς βαδίζοντας τῆς κατηφείας, ἔνθα πρὸ ὀλίγων ἡμερῶν ποταμῶν ῥεύματα τὸ πλῆθος ἀπέκρυπτεν, ἀλλὰ νῦν ἀπηλάθησαν ἡμῖν πάντες ἐκεῖνοι. Καὶ καθάπερ δρυμοῦ συμφύτου πολλῶν πανταχόθεν ἐκκοπέντων δένδρων, ἀτερπὴς ἡ ὄψις γίνεται, καθάπερ κεφαλῆς φαλακρώματα ἐχούσης πολλὰ, οὕτω δὴ καὶ τὸ τῆς πόλεως ἔδαφος τῶν ἀνθρώπων ἐλαττωθέντων, καὶ ὀλίγων σποράδην φαινομένων ἀτερπὲς γέγονε νῦν, καὶ πολλὴν τῶν ὁρώντων καταχέει τῆς ἀθυμίας τὴν ἀχλύν. Οὐ τὸ ἔδαφος δὲ μόνον, ἀλλὰ καὶ αὐτὴ τοῦ ἀέρος ἡ φύσις; καὶ αὐτὸς τῶν ἡλιακῶν ἀκτίνων ὁ κύκλος ϛυγνάζειν μοι δοκεῖ νῦν, καὶ ἀμαυρότερος φαίνεσθαι, οὐ τῶν ϛοιχείων τὴν φύσιν μεταβαλλόντων, ἀλλὰ τῶν ἡμετέρων ὀφθαλμῶν τῷ τεθολῶσθαι τῆς ἀθυμίας τῷ νέφει, μὴ δυναμένων καθαρῶς μηδὲ μετὰ τῆς αὐτῆς διαθέσεως τὸ παρὰ τῶν ἀκτίνων δέχεσθαι φῶς. Τοῦτό ἐϛιν ὃ πάλαι ὁ προφήτης ἐθρήνει λέγων, Δύσεται αὐτοῖς ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἡ ἡμέρα. Τοῦτο δὲ ἔλεγεν, οὐχ ὡς τοῦ ἄϛρου κρυπτομένου, οὐδὲ ὡς τῆς ἡμέρας ἀφανιζομένης, ἀλλ' ὡς τῶν ἀθυ-

μο-

μούντων οὐδὲ ἐν μεσημβρίᾳ δυναμένων ὁρᾷν τὸ φῶς διὰ τὸν ἀπὸ τῆς ὀδύνης ζόφον, ὃ δὴ καὶ νῦν γέγονε· καὶ ὅπου περ ἂν ἴδῃ τις, κἂν εἰς τὸ ἔδαφος, κἂν εἰς τοὺς τοίχους, κἂν εἰς τοὺς κίονας τῆς πόλεως, κἂν εἰς τοὺς πλησίον, νύκτα ὁρᾷν δοκεῖ καὶ ζόφον βαθύν· οὕτω πάντα πολλῆς γέμει τῆς κατηφείας. Σιγὴ πανταχοῦ φρίκης γέμουσα, καὶ ἐρημία, καὶ ὁ ποθεινὸς ἐκεῖνος τοῦ πλήθους ἔσβεσται θόρυβος, καὶ καθάπερ ἁπάντων εἰς τὴν γῆν καταδυόντων, οὕτως ἀφωνία τὴν πόλιν κατέχει νῦν, καὶ τοῖς λίθοις ἐοίκασιν ἅπαντες, καὶ ὥσπερ τινὶ γλωττοπέδῃ τῇ συμφορᾷ κατεχόμενοι βαρυτάτην κατέχουσιν ἡσυχίαν, καὶ τοσαύτην, ὅσηπερ ἂν εἰ πολεμίων ἐπελθόντων, καὶ πάντας ὁμοῦ πυρὶ καὶ σιδήρῳ δαπανησάντων ἐγένετο. Εὔκαιρον νῦν εἰπεῖν, Ἀποστείλατε πρὸς τὰς θρηνούσας, καὶ ἐλθέτωσαν, καὶ πρὸς τὰς σοφὰς φθεγξάσθωσαν. Ῥεέτωσαν οἱ ὀφθαλμοὶ ὑμῶν ὕδωρ, καὶ τὰ βλέφαρα ὑμῶν καταγέτω δάκρυα· οἱ βουνοὶ λάβετε κοπετὸν, καὶ τὰ ὄρη θρῆνον. Καλέσωμεν τὴν κτίσιν ἅπασαν εἰς συμπάθειαν τῶν ἡμετέρων κακῶν. Πόλις οὕτω μεγάλη καὶ τῶν ὑπὸ τὴν ἕω κειμένων ἡ κεφαλὴ ἐκ μέσης ἀναρπασθῆναι κινδυνεύει τῆς οἰκουμένης· νῦν ἡ πολύπαις ἄπαις ἐξαίφνης γεγένηται, καὶ ὁ βοηθήσων οὐδείς. Οὐ γάρ ἐστιν ὁ ὑβρισθεὶς ὁμότιμον τινα ἔχων ἐπὶ τῆς γῆς· βασιλεὺς γάρ ἐστιν, κορυφὴ καὶ κεφαλὴ τῶν ἐπὶ τῆς γῆς ἀνθρώπων ἁπάντων. Διὰ τοῦτο δὴ πρὸς τὸν ἄνω καταφεύγωμεν βασιλέα· ἐκεῖνον καλέσωμεν εἰς βοήθειαν· εἰ μὴ τῆς ἄνωθεν ἀπολαύσοιμεν εὐνοίας, οὐδεμία λείπεται τοῖς γεγενημένοις παραμυθία.

3. Ἐβουλόμην ἐνταῦθα καταλῦσαι τὸν λόγον· οὐ

γὰρ

γάρ ἐθέλουσι τῶν ὀδυνωμένων αἱ ψυχαὶ μακροὺς ἀποτείνειν λόγους· ἀλλ' ὥσπερ νεφέλη τις πυκνὴ γενομένη, καὶ τὴν ἡλιακὴν ἀκτῖνα ὑπεκδραμοῦσα, ἀποςρέφει τὴν αὐγὴν πᾶσαν εἰς τουπίσω· οὕτω δὴ καὶ ἀθυμίας νέφος, ἐπειδὰν ςῇ πρὸ τῆν ψυχῆς τῆς ἡμετέρας, οὐκ ἀφίησιν εὔκολον γίνεσθαι τὴν τοῦ λόγου διάβασιν, ἀλλ' ἀποπνίγει, καὶ συνέχει μετὰ πολλῆς τῆς ἀνάγκης ἔνδον αὐτόν· καὶ τοῦτο οὐκ ἐπὶ τῶν λεγόντων, ἀλλὰ καὶ ἐπὶ τῶν ἀκουόντων γίνεται. Ὥσπερ γὰρ ἀπὸ τῆς τοῦ λέγοντος ψυχῆς οὐκ ἀφίησιν αὐτὸν ἐκπηδῆσαι μετ' εὐκολίας, οὕτως οὐδὲ εἰς τὴν τῶν ἀκουόντων διάνοιαν ἐμπεσεῖν συγχωρεῖ μετὰ τῆς οἰκείας δυνάμεως. Διὰ τοῦτο καὶ Ἰουδαῖοι ποτὲ τῷ πηλῷ καὶ τῇ πλινθείᾳ δουλεύοντες, τοῦ Μωσέως πολλάκις μεγάλα περὶ τῆς αὐτῶν λέγοντος σωτηρίας ἀκούειν οὐκ ἠνείχοντο, τῆς ἀθυμίας ἄβατον ποιούσης τῷ λόγῳ τὴν διάνοιαν, καὶ τὴν ἀκοὴν ἐμφραττούσης. Ἠβουλόμην μὲν οὖν καὶ αὐτὸς ἐνταῦθα καταλῦσαι τὰ εἰρημένα· ἀλλ' ἐννοήσας, ὅτι οὐκ ἀντιφράττει μόνον νεφέλης φύσις τὴν εἰς τὸ πρόσω φορὰν τῆς ἀκτῖνος, ἀλλὰ καὶ τοὐναντίον αὐτὴ πάσχει πολλάκις· ἐπειδὰν γὰρ ὁ ἥλιος θερμότερος προσπεσὼν διηνεκῶς τρίβῃ τὸ νέφος, μέσον τε αὐτὸ διέῤῥηξε πολλάκις, καὶ ἀθρόον ἐκλάμψας φαιδρὸς ταῖς τῶν ὁρώντων προσέπεσεν ὄψεσι· τοῦτο καὶ αὐτὸς προσδοκῶ ποιήσειν σήμερον, καὶ τοῦ λόγου συνεχῶς ὁμιλοῦντος ὑμῶν ταῖς ψυχαῖς, καὶ ἐπὶ πλεῖον ἐνδιατρίβοντος, ῥαγήσεσθαι ἐλπίζω τῆς ἀθυμίας τὸ νέφος, καὶ καταλάμψειν ὑμῶν τὴν διάνοιαν τῇ εἰωθυίᾳ πάλιν διδασκαλίᾳ. Ἀλλ' ἐπίδοτέ μοι τὴν ψυχὴν τὴν ὑμετέραν, ἐπίδοτέ μοι τὴν ἀκοὴν μικρόν· ἀπο-

ἀποτινάξασθε τὴν ἀθυμίαν· ἐπὶ τὸ πρότερον ἔθος ἐπανέλθωμεν, καὶ ὥσπερ εἰώθαμεν ἀεὶ μετ' εὐθυμίας ἐνταῦθα παραγίνεσθαι, οὕτω καὶ νῦν ποιῶμεν, τὸ πᾶν ἐπὶ τὸν Θεὸν ῥίψαντες. Τοῦτο καὶ πρὸς αὐτὴν ἡμῖν τῆς συμφορᾶς συμβαλεῖται τὴν λύσιν. Ἂν γὰρ ἴδῃ μετὰ ἀκριβείας ἀκροωμένους τῶν αὐτοῦ λόγων, καὶ τὴν φιλοσοφίαν ἡμῖν οὐκ ἐλεγχομένην τῇ τοῦ καιροῦ δυσκολίᾳ, ταχέως ἀντιλήψεται, καὶ ποιήσει τὴν γαλήνην καὶ μεταβολὴν ἀγαθὴν ἀπὸ τοῦ παρόντος χειμῶνος. Τὸν γὰρ Χριςιανὸν καὶ ἐν τούτῳ τῶν ἀπίςων διαφέρειν χρὴ, ἐν τῷ φέρειν γενναίως ἅπαντα, καὶ τῇ τῶν μελλόντων ἐλπίδι πτερούμενον ἀνώτερον εἶναι τῆς τῶν ἀνθρωπίνων κακῶν προσβολῆς. Ἐπὶ τῆς πέτρας ἕςηκεν ὁ πιςὸς, διὰ τοῦτο ταῖς τῶν κυμάτων ἀχείρωτός ἐςι προσβολαῖς. Ἂν γὰρ ἐπαρθῇ τὰ κύματα τῶν πειρασμῶν, οὐκ ἐφικνεῖται τῶν ἐκείνου ποδῶν· οὕτος ὑψηλότερος ἁπάσης τοιαύτης ἕςηκεν ἐπιβουλῆς. Μὴ τοίνυν καταπέσωμεν, ἀγαπητοί. Οὐχ οὕτως ἡμεῖς φροντίζομεν τῆς ἡμετέρας σωτηρίας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός· οὐχ οὕτως ἡμῖν μέλει τοῦ μηδὲν παθεῖν δεινὸν, ὡς τῷ ψυχὴν ἡμῖν χαρισαμένῳ, καὶ τοσαῦτα δόντι μετὰ ταῦτα ἀγαθά. Ταύταις ἑαυτοὺς πτερώσωμεν ταῖς ἐλπίσι, καὶ τῶν μελλόντων ῥηθήσεσθαι μετὰ τῆς εἰωθυίας ἀκούσωμεν προθυμίας. Μακρὰν πρῴην ἀπέτεινα πρὸς τὴν ὑμετέραν ἀγάπην δημηγορίαν, καὶ πάντας εἶδον παρακολουθοῦντας, καὶ οὐδένα ἐκ μέσης ὑποςρέψαντα τῆς ὁδοῦ. Χάριν ὑμῖν ἀντὶ τῆς προθυμίας ἔχω ἐκείνης, καὶ τῶν πόνων τὸν μισθὸν ἀπείληφα· ἀλλὰ καὶ ἕτερον μετ' ἐκείνου μισθὸν ὑμᾶς ᾔτησα τότε· τάχα ἴςε καὶ μέμνησθε. Τίς δὲ ἦν ὁ

μι-

μισθός; Τοὺς βλασφήμους τοὺς κατὰ τὴν πόλιν κολάζειν καὶ σωφρονίζειν, τοὺς εἰς τὸν Θεὸν ὑβρίζοντας καὶ παροινοῦντας κατέχειν, οὐκ οἶμαι ταῦτα ἀπ' ἐμαυτοῦ εἰρηκέναι, ἀλλὰ τοῦ Θεοῦ τὰ μέλλοντα προειδότος εἰς τὴν διάνοιαν τὴν ἡμετέραν ἐμβεβληκέναι τὰ ῥήματα· εἰ γὰρ τοὺς τὰ τοιαῦτα τολμῶντας ἐκολάζομεν, οὐκ ἂν ταῦτα ἐξέβη νῦν, ἅπερ ἐξέβη. Πόσῳ βέλτιον ἦν, εἰ καὶ κινδυνεύειν ἔδει, σωφρονίζοντα αὐτοὺς καὶ παιδεύοντα παθεῖν τι, ὃ καὶ μαρτυρίου στέφανον ἡμῖν ἐκόμιζεν, ἢ νῦν δεδοικέναι, καὶ τρέμειν, καὶ θάνατον προσδοκᾷν, ἐκ τῆς ἐκείνων ἀταξίας; Ἰδοὺ τὸ ἁμάρτημα γέγονεν ὀλίγων, καὶ τὸ ἔγκλημα γίνεται κοινόν· ἰδοὺ δι' ἐκείνους ἅπαντες δεδοίκαμεν νῦν, καὶ τῶν ἐκείνοις τετολμημένων αὐτοὶ τὰς τιμωρίας ὑπομένομεν. Εἰ δὲ προλαβόντες αὐτοὺς ἐξεβάλομεν τῆς πόλεως, καὶ ἐσωφρονίσαμεν, καὶ τὸ νενοσηκὸς διωρθώσαμεν μέλος, οὐκ ἂν τὸν παρόντα ἐφοβούμεθα φόβον. Οἶδα ὅτι τῆς πόλεως τὸ ἦθος ἄνωθεν ἐλεύθερον, ξένοι δέ τινες καὶ μιγάδες ἄνθρωποι, μιαροὶ καὶ ὀλέθριοι, καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας ἐτόλμησαν, ἅπερ ἐτόλμησαν. Διὰ ταῦτα βοῶν ἀεὶ καὶ διαμαρτυρόμενος οὐ διέλειπον· Κολάσωμεν τῶν βλασφημούντων τὴν μανίαν, σωφρονίσωμεν αὐτῶν τὴν διάνοιαν, προνοήσωμεν αὐτῶν τῆς σωτηρίας· κἂν ἀποθανεῖν δέῃ τοῦτο ποιοῦντας, μέγα ἡμῖν οἴσει τὸ πρᾶγμα κέρδος· μὴ παρίδωμεν τὸν κοινὸν ὑβριζόμενον δεσπότην. Μέγα τι τέξεται τῇ πόλει κακὸν τὸ τὰ τοιαῦτα παρορᾷν.

4. Ταῦτα προύλεγον, ταῦτα ἐξέβη νῦν, καὶ τῆς ῥαθυμίας ἐκείνης τίνομεν δίκας. Τὸν Θεὸν ὑβριζόμενον πε-

περιεῖδες· ἰδοὺ συνεχώρησεν ὑβρισθῆναι βασιλέα· καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμασθῆναι πᾶσι κίνδυνον, ἵνα ἐν τῷ φόβῳ τούτῳ τῆς ῥαθυμίας ἐκείνης δῶμεν δίκην. Ἆρα μὴ μάτην, μηδὲ εἰκῇ ταῦτα προύλεγον, καὶ συνεχῶς ἠνώχλουν τῇ ὑμετέρᾳ ἀγάπῃ; Ἀλλ' ὅμως οὐδὲν γέγονε πλέον, ἀλλὰ γενέσθω νῦν, καὶ ἀπὸ τῆς παρούσης σωφρονισθέντες συμφορᾶς, ἐπισχῶμεν τὴν ἄτακτον ἐκείνων μανίαν. Ἐμφράξωμεν αὐτῶν τὰ ςόματα, καθάπερ πηγὰς θανατηφόρους ἀποκλείσωμεν, καὶ πρὸς τὸ ἐναντίον μεταβάλωμεν, καὶ πάντως ςήσεται τὰ κατειληφότα τὴν πόλιν κακά. Οὐκ ἔςι θέατρον ἡ ἐκκλησία, ἵνα πρὸς τέρψιν ἀκούωμεν· ὠφεληθέντας ἐντεῦθεν ἀπιέναι χρὴ, κερδανάντας τι πλέον καὶ μέγα, οὕτως ἀναχωρεῖν δεῖ. Ἐπεὶ μάτην καὶ εἰκῇ παραγινόμεθα, εἰ πρὸς καιρὸν ψυχαγωγηθέντες οὕτως ἀναχωροίημεν ἔρημοι καὶ κενοὶ τῆς ἀπὸ τῶν λεγομένων ὠφελείας γενόμενοι. Τί μοι τῶν κρότων ὄφελος τούτων; τί δὲ τῶν ἐπαίνων καὶ τῶν θορύβων; Ἔπαινος ἐμὸς τὸ διὰ τῶν ἔργων ὑμᾶς ἐπιδεῖξαι τὰ λεγόμενα ἅπαντα. Τότε ἐγὼ ζηλωτὸς καὶ μακάριος, οὐχ ὅταν ἀπεδέχησθε, ἀλλ' ὅταν ποιῆτε μετὰ προθυμίας ἁπάσης, ἅπερ ἂν ἀκούσητε παρ' ἡμῶν. Ἕκαςος τὸν πλησίον διορθούσθω. Οἰκοδομεῖτε γὰρ εἷς τὸν ἕνα, φησίν· ἂν γὰρ μὴ τοῦτο ποιῶμεν, ἡ παρ' ἑκάςου γινομένη πλημμέλεια κοινήν τινα καὶ ἀφόρητον οἴσει τὴν βλάβην τῇ πόλει. Ἰδοὺ, μηδὲν συνειδότες τοῖς γεγενημένοις τῶν τετολμηκότων οὐκ ἔλαττον δεδοίκαμεν, καὶ φρίττομεν, μὴ πάντας ὁ τοῦ βασιλέως θυμὸς καταλάβῃ. Καὶ οὐκ ἀρκεῖ εἰς ἀπολογίαν ἡμῖν τὸ λέγειν, οὐ παρήμην, οὐ συνῄδειν, οὐκ ἐκοινώνησα τῶν γεγενημένων.

Δἰ αὐτὸ μὲν οὖν τοῦτο κολάζου, Φησὶ, καὶ δίδου δίκην τὴν ἐσχάτην, ὅτι μὴ παρῆς, μηδὲ ἐκώλυες, μηδὲ τοὺς ἀκοσμοῦντας κατεῖχες, μηδὲ ἐκινδύνευσας, ὑπὲρ τῆς εἰς τὸν βασιλέα τιμῆς. Οὐ μετέσχες τῶν τετολμημένων; Ἐπαινῶ τοῦτο καὶ ἀποδέχομαι· ἀλλ᾽ οὐδὲ ἐπέσχες τὰ γινόμενα· τοῦτο κατηγορίας ἄξιον. Ταῦτα καὶ παρὰ τοῦ Θεοῦ τὰ ῥήματα ἀκουσόμεθα, ὅταν σιγῇ Φέρωμεν τὰς εἰς αὐτὸν ὕβρεις καὶ παροινίας γινομένας. Ἐπεὶ καὶ ὁ τὸ τάλαντον ἐκεῖνο καταχώσας οὐχ ὑπὲρ τῶν καθ᾽ ἑαυτὸν ἐνεκαλεῖτο τότε, (ὁλόκληρον γὰρ τὴν παρακαταθήκην ἀπέδωκεν), ἀλλ᾽ ὅτι αὐτὴν οὐκ ἐπλεόνασεν, ὅτι ἑτέρους οὐκ ἐπαίδευσεν, ὅτι τὸ ἀργύριον τοῖς τραπεζίταις οὐ κατέβαλε, τουτέστιν, οὐ παρήνεσεν, οὐ συνεβούλευσεν, οὐκ ἐπετίμησεν, οὐ διώρθωσε τοὺς πλησίον ἀκοσμοῦντας τῶν πονηρῶν· διὰ τοῦτο χωρὶς συγγνώμης ἁπάσης εἰς τὰς ἀφορήτους ἐπέμπετο κολάσεις ἐκείνας. Ἀλλ᾽ ὅτι μὲν, εἰ καὶ μὴ πρότερον, νῦν γοῦν ταύτην ἐργάσεσθε τὴν διόρθωσιν, καὶ τὸν Θεὸν ὑβριζόμενον οὐ περιόψεσθε, σφόδρα πεπίστευκα. Ἱκανὰ γὰρ τὰ συμβεβηκότα, εἰ καὶ μηδεὶς ὁ παραινῶν ἦν, καὶ τοὺς σφόδρα ἀναισθήτως διακειμένους πεῖσαι λοιπὸν τῆς οἰκείας ἐπιλαβέσθαι σωτηρίας. Ἡμῖν δὲ ὥρα λοιπὸν τὴν εἰωθυῖαν ὑμῖν ἀπὸ τοῦ Παύλου παραθεῖναι τράπεζαν, τὴν σήμερον ἀναγνωσθεῖσαν ῥῆσιν προχειρισαμένους, καὶ εἰς μέσον καταθεμένους ἅπασι. Τί ποτ᾽ οὖν ἐστι τὸ σήμερον ἀναγνωσθέν; Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ ὑψηλοφρονεῖν. Εἰπὼν, Τοῖς πλουσίοις ἐν τῷ νῦν αἰῶνι, ἔδειξε καὶ ἑτέρους ὄντας πλουσίους τοὺς τοῦ μέλλοντος αἰῶνος· οἷος ἐκεῖνος ὁ Λάζαρος ἦν, κατὰ μὲν τὸν

τὸν παρόντα βίον πένης, κατὰ δὲ τὸν μέλλοντα πλούσιος, οὐ χρυσοῦ, καὶ ἀργύρου, καὶ τοιαύτῃ τινὶ φθαρτῇ, καὶ ἐπικήρῳ πλουτῶν ὕλῃ, ἀλλὰ τοῖς ἀποῤῥήτοις ἐκείνοις ἀγαθοῖς, ἃ μήτε ὀφθαλμὸς εἶδε, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη. Τοῦτο γὰρ ἀληθῶς πλοῦτος καὶ εὐπορία, ὅταν καὶ ἀκήρατα ᾖ τὰ καλὰ, καὶ μηδεμίαν δέχηται μεταβολήν. Ἀλλ' οὐχ ὁ παριδὼν αὐτὸν πλούσιος τοιοῦτος, ἀλλὰ πάντων πενέστερος ἐγένετο. Μετὰ ταῦτα γοῦν σταγόνος ἀξιώσας ἐπιτυχεῖν, οὔτε αὐτῆς ἐγένετο κύριος· οὕτω πρὸς ἐσχάτην ἐληλάκει πενίαν. Διὰ τοῦτο πλουσίους τοῦ παρόντος αἰῶνος ἐκάλεσεν, ἵνα μάθῃς ὅτι μετὰ τῆς παρούσης ζωῆς καὶ ἡ εὐπορία συγκαταλύεται· οὐ πρόεισι περαιτέρω, οὐδὲ συμμεθίσταται ἀποδημοῦσι τοῖς ἔχουσιν, ἀλλὰ πολλάκις αὐτοὺς καὶ πρὸ τῆς τελευτῆς ἀφίησιν· ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε, Μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. Οὐδὲν γὰρ οὕτως ἄπιστον, ὡς ὁ πλοῦτος, ὃ πολλάκις εἶπον, καὶ λέγων οὐ παύσομαι, ὅτι δραπέτης ἐστὶν ἀγνώμων, οἰκέτης πίστιν οὐκ ἔχων, κἂν μυρίας αὐτῷ περιβάλλῃς πέδας, οὗτος καὶ τὰς πέδας αὐτὰς ἐπισυρόμενος ἄπεισι. Πολλάκις γοῦν μοχλοῖς καὶ θύραις ἀπέκλεισαν αὐτὸν οἱ κεκτημένοι, οἰκέτας περιστήσαντες φύλακας· ὁ δὲ τοὺς οἰκέτας αὐτοὺς ἀναπείσας μετ' αὐτῶν ἀπέδρα τῶν φυλαττόντων, καθάπερ ἅλυσιν τοὺς τηροῦντας ἐπισυρόμενος, καὶ πλέον οὐδὲν ἀπὸ τῆς φυλακῆς ἐγένετο ταύτης. Τί τούτου γένοιτ' ἂν ἀπιστότερον; Τί δὲ τῶν περὶ αὐτὸν ἐσπουδακότων ἐλεεινότερον; Ὅταν πρᾶγμα οὕτω σαθρὸν καὶ εὐμετάπτωτον πάσῃ σπουδῇ συλλέγειν ἐπιχειρῶσι, καὶ μὴ ἀκούωσι τοῦ προφήτου λέγοντος, Οὐαὶ

οἱ

οἱ πεποιθότες ἐπὶ τῇ δυνάμει αὐτῶν, καὶ ἐπὶ τῷ πλήθει τοῦ πλούτου αὐτῶν καυχώμενοι. Εἰπὲ, τίνος ἕνεκεν, οὐαί; Θησαυρίζει, φησὶ, καὶ οὐγινώσκει τίνι συνάξει αὐτά. Ὅτι ὁ μὲν πόνος δῆλος, ἡ δὲ ἀπόλαυσις ἄδηλος. Πολλάκις ἐχθροῖς λάμψεις, καὶ ταλαιπωρεῖς. Πολλάκις μετὰ τὴν σὴν τελευτὴν εἰς τοὺς ἠδικηκότας καὶ μυρία σοι ἐπιβουλεύσαντας, ὁ κλῆρος ἐλθὼν σοι μὲν τὰ ἁμαρτήματα, τὴν δὲ ἀπόλαυσιν παρέσχεν ἑτέροις.

5. Ἀλλ' ἄξιον ἐκεῖνο ἐξετάσαι, τίνος ἕνεκεν οὐκ εἶπε, Τοῖς δὲ πλουσίοις ἐν τῷ νῦν αἰῶνι παράγγελλε μὴ πλουτεῖν, παράγγελλε πένεσθαι, παράγγελλε τὰ ὄντα κενοῦν, ἀλλὰ, παράγγελλε μὴ ὑψηλοφρονεῖν; Οἶδεν ὅτι τοῦ πλούτου ῥίζα καὶ ὑπόθεσίς ἐςιν ἡ ἀπόνοια, κἂν εἰδῇ τις μετριάζειν, οὐ πολλὴν περὶ τὸ πρᾶγμα ποιήσεται σπουδήν. Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, τοὺς πολλοὺς οἰκέτας περιάγεις τοὺς παρασίτους, τοὺς κόλακας, τὴν ἄλλην ἅπασαν φαντασίαν; Οὐ χρείας ἕνεκεν, ἀλλ' ἀπονοίας μόνης, ἵνα ἀπὸ τούτων σεμνότερος τῶν ἄλλων ἀνθρώπων εἶναι δοκῇς. Ἄλλως δὲ οἶδεν οὐ κεκωλυμένον τὸν πλοῦτον, ἐάν τις αὐτῷ εἰς δέον κεχρημένος ᾖ. Ὥσπερ γὰρ εἶπον, οὐ κακὸν ὁ οἶνος, ἀλλὰ κακὸν ἡ μέθη· οὕτως οὐ κακὸν ὁ πλοῦτος, ἀλλὰ κακὸν ἡ πλεονεξία, κακὸν ἡ φιλαργυρία. Ἕτερον φιλάργυρος, καὶ ἕτερον πλούσιος· ὁ φιλάργυρος οὐκ ἔςι πλούσιος, ὁ φιλάργυρος πολλῶν δεῖται· ὁ δὲ πολλῶν δεόμενος οὐκ ἂν εὐπορήσειέ ποτε. Ὁ φιλάργυρος φύλαξ, οὐ δεσπότης ἐςὶ τῶν χρημάτων, δοῦλος, οὐ κύριος· εὐκολώτερον γάρ τῶν αὐτοῦ σαρκῶν μεταδοίη τινὶ ἢ τοῦ κατωρυγμένου, χρυσίου. Καὶ καθάπερ τινὸς ἐπιτάττοντος καὶ κελεύοντος μηδενὸς ἅψασθαι τῶν ἀποκειμένων· οὕτω

με-

μετὰ πάσης ἀκριβείας αὐτὰ τηρεῖ καὶ κατέχει καθάπερ ἀλλοτρίων ἀπεχόμενος τῶν οἰκείων. Καὶ γάρ ἐςιν ὄντως ἀλλότρια· ἃ γὰρ εἰς ἑτέρους ἐκβάλλειν οὐκ ἂν ἕλοιτο, οὐδὲ τοῖς δεομένοις διανειμαι, κἂν μυρίας ὑποςαίη τιμωρίας. πῶς ἂν δύναιτο ταῦτα ἴδια νομίζειν εἶναι; Πῶς δὲ ἔχει τὴν κτῆσιν, ὧν τὴν χρῆσιν οὐχ ἔχει μετὰ ἀδείας οὐδὲ τὴν ἀπόλαυσιν; Πρὸς δὲ τούτοις οὐ πᾶσι πάντα ἐπιτάττειν ὁ Παῦλος εἴωθεν, ἀλλὰ καὶ τῇ τῶν ἀκουόντων ἀσθενείᾳ συγκαταβαίνει, καθάπερ οὖν καὶ ὁ Χριςὸς ἐποίησε. Καὶ γὰρ ἐκείνῳ τῷ πλουσίῳ προσελθόντι, καὶ περὶ τῆς ζωῆς αὐτῷ διαλεγομένῳ οὐκ εἶπεν, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα, ἀλλ' ἀφεὶς τοῦτο περὶ ἑτέρων αὐτῷ ἐντολῶν διελέγετο· εἶτα ἐπειδὴ ἐκεῖνος αὐτὸν προεκαλέσατο, καὶ φησιν· Τί ἔτι μοι λείπει; Οὐδὲ τότε ἁπλῶς εἶπεν. πώλησόν σου τὰ ὑπάρχοντα· ἀλλ', Εἰ θέλεις τέλειος εἶναι, ὕπαγε, πώλησόν σου τὰ ὑπάρχοντα· ἐπὶ τῇ σῇ τίθημι γνώμῃ, σὲ κύριον ποιῶ τῆς προαιρέσεως, οὐκ εἰς ἀνάγκην ἄγω. Διὰ τοῦτο καὶ Παῦλος οὐδὲν περὶ πενίας τοῖς πλουτοῦσι διελέγετο, ἀλλὰ περὶ ταπεινοφροσύνης, διά τε τὴν ἀσθένειαν τῶν ἀκουόντων, καὶ τὸ σφόδρα εἰδέναι, ὅτι τὸ μετριάζειν, καὶ ἀπονοίας ἀπηλλάχθαι ποιήσει ταχέως αὐτοὺς καὶ τῆς περὶ τοῦ πλουτεῖν ἀπαλλαγῆναι σπουδῆς. Εἶτα παραινέσας μὴ ὑψηλοφρονεῖν, ἐδίδαξε καὶ τὸν τρόπον, καθ' ὃν δυνήσονται μὴ ὑψηλοφρονεῖν. Τὶς δὲ οὗτός ἐςιν; Εἰ τοῦ πλούτου τὴν φύσιν καταμάθοιεν, ὡς ἄδηλός τίς ἐςι καὶ ἄπιςος, διὰ τοῦτο ἐπήγαγε, μηδὲ ἠλπικέναι ἐπὶ πλούτου ἀδηλότητι. Πλούσιός ἐςιν οὐχ ὁ πολλὰ κεκτημένος, ἀλλ' ὁ πολλὰ διδούς. Πλούσιος ἦν ὁ Ἀβραάμ, ἀλλ'

ἀλλ' οὐ Φιλάργυρος· οὐ γὰρ περιεσκόπει τὴν τοῦ δεῖνος οἰκίαν, οὐδὲ περιεργάζετο τὴν τοῦ δεῖνος οὐσίαν· ἀλλ' ἐξιὼν περιεσκόπει, μή που ξένος, μή που πένης, ὥστε διορθῶσαι τὴν πενίαν, ὥστε ὑποδέξασθαι τὸν ὁδίτην. Οὐ χρυσῷ τὸν ὄροφον ἤλειφεν, ἀλλὰ παρὰ τὴν δρῦν ἐκείνην τὴν καλύβην πηξάμενος, τῇ τῶν Φύλλων ἤρκεῖτο σκιᾷ· καὶ οὕτω λαμπρὸν ἦν αὐτῷ τὸ καταγώγιον, ὡς μὴ ἀγγέλους ἐπαισχυνθῆναι τὴν παρ' ἐκείνῳ μονήν· οὐ γὰρ λαμπρότητα οἰκίας ἐπεζήτουν, ἀλλὰ ψυχῆς ἀρετήν. Τοῦτον δὴ καὶ ἡμεῖς μιμησώμεθα, ἀγαπητοὶ, καὶ τὰ ὄντα εἰς τοὺς δεομένους ἀναλίσκωμεν. Ἐσχεδιασμένον ἦν ἐκεινο τὸ καταγώγιον, ἀλλὰ τῶν βασιλικῶν αὐλῶν λαμπρότερον ἦν. Βασιλεὺς οὐδεὶς οὐδέποτε ἀγγέλους ὑπεδέξατο, ὁ δὲ ὑπὸ τὴν δρῦν καθήμενος ἐκείνην, καὶ καλύβην πηξάμενος ἠξιώθη τῆς τιμῆς ταύτης, οὐ διὰ τὴν εὐτέλειαν τῆς οἰκίας τιμηθεὶς, ἀλλὰ διὰ τὴν πολυτέλειαν τῆς ψυχῆς, καὶ τὸν ἐναποκείμενον πλοῦτον αὐτῇ ταύτης ἀπολαύσας τῆς δωρεᾶς. Καὶ ἡμεῖς τοίνυν, μὴ τὰς οἰκίας καλλωπίζωμεν, ἀλλὰ πρὸ τῆς οἰκίας τὴν ψυχὴν τὴν ἡμετέραν· πῶς γὰρ οὐκ αἰσχρὸν μαρμάροις μὲν περιβάλλειν τοὺς τοίχους εἰκῇ καὶ μάτην, τὸν δὲ Χριστὸν γυμνὸν περιερχόμενον περιορᾷν; Τί σοι τῆς οἰκίας ὄφελος, ἄνθρωπε; Μὴ γὰρ λαβὼν αὐτὴν ἀπελεύσῃ; Τὴν δὲ ψυχὴν ἀπελεύσῃ πάντως λαβών. Ἰδοὺ τοιοῦτος κίνδυνος κατέλαβε νῦν· παραστήτωσαν ἡμῖν αἱ οἰκίαι, λυσάτωσαν ἡμῖν τὸν ἐπηρτήμενον κίνδυνον· Ἀλλ' οὐ δυνήσονται. Καὶ μάρτυρες ὑμεῖς οἱ καταλιμπάνοντες αὐτὰς ἐρήμους, καὶ πρὸς τὴν ἐρημίαν ἀποπηδῶντες, καθάπερ παγίδας καὶ δίκτυα δεδοικότες. Βοηθεί-

τα

τω τὰ χρήματα νῦν· ἀλλ' οὐκ ἔχει καιρόν. Εἰ δὲ ἔνθα ἀνθρώπου ὀργὴ, χρημάτων ἐλέγχεται δύναμις, πολλῷ μᾶλλον ἐπὶ τοῦ Θείου καὶ ἀδεκάςου δικαςηρίου τοῦτο γενήσεται. Εἰ ἄνθρωπός ἐστιν ὁ παροξυνόμενος καὶ ἀγανακτῶν, καὶ οὐδὲν ἡμᾶς τὸ χρυσίον ὠφελεῖ νῦν, πολλῷ μᾶλλον ὀργιζομένου τοῦ Θεοῦ τοῦ μὴ δεομένου χρημάτων, ἀσθενήσει πάντως τοῦ χρυσίου ἡ δύναμις. Οἰκίας οἰκοδομούμεθα, ἵνα οἰκῶμεν, οὐχ ἵνα φιλοτιμώμεθα. Τὸ μεῖζον τῆς χρείας, περιττὸν τῆς χρείας ἐςὶ καὶ ἄχρηςον. Ὑπόδησαι ὑπόδημα τοῦ ποδὸς μεῖζον· ἀλλ' οὐκ ἀνέξῃ· ἐμποδίζει γάρ σοι πρὸς τὴν βάδισιν. Οὕτω καὶ οἰκία μείζων τῆς χρείας ἐμποδίζει πρὸς τὴν εἰς οὐρανοὺς ἀποδημίαν. Βούλει λαμπρὰς καὶ μεγάλας οἰκοδομεῖν οἰκίας· οὐ κωλύω, ἀλλὰ μὴ ἐπὶ γῆς· οἰκοδόμησον σκηνὰς ἐν οὐρανοῖς, ἵνα καὶ ἑτέρους ὑποδέξασθαι δυνηθῇς, σκηνὰς οὐδέποτε καταλυομένας. Τί μέμηνας περὶ τὰ φεύγοντα, καὶ τὰ ἐνθάδε μένοντα; Οὐδὲν σφαλερώτερον πλούτου, σήμερον μετὰ σοῦ, καὶ αὔριον κατὰ σοῦ, τοὺς τῶν βασκάνων ὀφθαλμοὺς ὁπλίζει πάντοθεν· πολέμιός ἐςιν ὁμόσκηνος, ἐχθρὸς σύνοικος· καὶ μάρτυρες ὑμεῖς οἱ κεκτημένοι, οἱ παντὶ τρόπῳ κατορύττοντες αὐτὸν καὶ ἀποκρύπτοντες· ἐπεὶ καὶ νῦν τὸν κίνδυνον ἀφορητότερον ἡμῖν ὁ πλοῦτος ποιεῖ. Ὁρᾷς γοῦν τοὺς μὲν πένητας εὐζώνους καὶ ἀπολελυμένους, καὶ πρὸς ἅπαντα παρεσκευασμένους· τοὺς δὲ πλουσίους πολλὴν ἔχοντας δυσκολίαν, καὶ περιιόντας, καὶ ζητοῦντας ποῦ τὸ χρυσίον κατορύξωσι, ζητοῦντας τίνι κατάθοιντο. Τί ζητεῖς, ἄνθρωπε, τοὺς ὁμοδούλους; Ἕςηκεν ὁ Χριςὸς ἕτοιμος ὑποδέξασθαι, καὶ τηρῆ-

ρῆσαί σοι τὰς παρακαταθήκας, οὐχὶ τηρῆσαι δὲ μόνον, ἀλλὰ καὶ πλεονάσαι, καὶ μετὰ πολλῆς ἀποδοῦναι τῆς προσθήκης· ἐκ τῆς ἐκείνου χειρὸς οὐδεὶς ἁρπάζει. Οὐ τηρεῖ δὲ μόνον τὰς παρακαταθήκας, ἀλλὰ καὶ ὑπὲρ αὐτοῦ τούτου λύει σοι τοὺς κινδύνους. Ἐπὶ μὲν γὰρ τῶν ἀνθρώπων οἱ δεξάμενοι τὰς παρακαταθήκας χάριν ἡμῖν δεδωκέναι νομίζουσι, φυλάττοντες ἅπερ ἔλαβον· ἐπὶ δὲ τοῦ Χριστοῦ τοὐναντίον· οὐ γὰρ δεδωκέναι χάριν, ἀλλ᾽ εἰληφέναι χάριν, ὅταν δέξηταί σου τὰς παρακαταθήκας, φησὶν, καὶ ὑπὲρ τῆς φυλακῆς αὐτῆς, ἣν περὶ τὰ χρήματα ἐπιδείκνυται τὰ σὰ, οὐκ ἀπαιτεῖ σε μισθὸν, ἀλλὰ δίδωσί σοι μισθόν. — — — — — — — — — — — — — — —

III.

E Chrysostomi libro

de Sacerdotio.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΙΩΑΝΝΟΥ ΤΟΥ ΧΡΗΣΟΣΤΟΜΟΥ ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ.

ΛΟΓΟΣ έ.

Ὅσης μὲν ἐμπειρίας τῷ διδασκάλῳ δεῖ πρὸς τοὺς ὑπὲρ τῆς ἀληθείας ἀγῶνας, ἱκανῶς ἡμῖν ἀποδέδεικται· ἔχω

ἔχω δέ τι καὶ πρὸς τούτοις ἕτερον μυρίων αἴτιον κινδύνων εἰπεῖν. Μᾶλλον δὲ οὐκ ἐκεῖνο εἴποιμι ἂν αἴτιον ἔγωγε, ἀλλὰ τοὺς οὐκ εἰδότας αὐτῷ χρῆσθαι καλῶς· ἐπεὶ τόγε πρᾶγμα αὐτὸ σωτηρίας τε καὶ πολλῶν γίνεται πρόξενον ἀγαθῶν, ὅταν τοὺς διακονουμένους εὕρῃ σπουδαίους τε ἄνδρας καὶ ἀγαθούς. Τί οὖν τοῦτό ἐςιν; Ὁ πολὺς πόνος ὁ περὶ τὰς διαλέξεις τὰς κοινῇ πρὸς τὸν λαὸν γινομένας ἀναλισκόμενος. Πρῶτον μὲν γὰρ τὸ πλέον τῶν ἀρχομένων οὐκ ἐθέλουσιν ὡς πρὸς διδασκάλους διακεῖσθαι τοὺς λέγοντας, ἀλλὰ τὴν τῶν μαθητῶν τάξιν ὑπερβάντες, ἀντιλαμβάνουσι τὴν τῶν θεατῶν τῶν ἐν τοῖς ἔξωθεν καθεζομένων ἀγῶσι. Καὶ καθάπερ ἐκεῖ τὸ πλῆθος μερίζεται, καὶ οἱ μὲν τούτῳ, οἱ δὲ ἐκείνῳ προσνέμουσιν ἑαυτοὺς, οὕτω δὴ καὶ ἐνταῦθα διαιρεθέντες, οἱ μὲν μετὰ τούτου, οἱ δὲ μεθ' ἐκείνου γίνονται, πρὸς χάριν ἢ πρὸς ἀπέχθειαν ἀκούοντες τῶν λεγομένων. Καὶ οὐ τοῦτο μόνον ἐςὶ τὸ χαλεπὸν, ἀλλὰ καὶ ἕτερον οὐδὲν ἔλαττον τούτου. Ἢν γάρ τινα συμβῇ τῶν λεγόντων μέρος τι τῶν ἑτέροις πονηθέντων ἐνυφῆναι τοῖς λόγοις αὐτοῦ, πλείονα τῶν τὰ χρήματα κλεπτόντων ὑφίςαται ὀνείδη. Πολλάκις δὲ οὐδὲ λαβὼν παρ' οὐδενὸς οὐδὲν, ἀλλ' ὑποπτευθεὶς μόνον, τὰ τῶν ἑαλωκότων ἔπαθεν. Καὶ τί λέγω τῶν ἑτέροις πεπονημένων; Αὐτὸν τοῖς εὑρήμασι τοῖς ἑαυτοῦ συνεχῶς χρήσασθαι οὐκ ἔνι. Οὐ γὰρ πρὸς ὠφέλειαν, ἀλλὰ πρὸς τέρψιν ἀκούειν εἰθίσθησαν οἱ πολλοί, καθάπερ τραγῳδῶν ἢ κιθαρῳδῶν καθήμενοι δικαςαί. Καὶ ἡ τοῦ λόγου δύναμις, ἣν ἐξεβάλομεν νῦν, οὕτως ἐνταῦθα γίνεται ποθεινὴ, ὡς οὐδὲ τοῖς σοφιςαῖς, ὅταν πρὸς ἀλλήλους ἀγωνίζεσθαι ἀναγκά-

2. ζωνται. Γενναίας οὖν δεῖ κἀνταῦθα ψυχῆς, καὶ πολὺ τὴν ἡμετέραν ὑπερβανούσης σμικρότητα, ἵνα τὴν ἄτακτον καὶ ἀνωφελῆ τοῦ πλήθους ἡδονὴν κολάζῃ, καὶ πρὸς τὸ ὠφελιμώτερον μετάγειν δύνηται τὴν ἀκρόασιν, ὡς αὐτῷ τὸν λαὸν ἕπεσθαι καὶ εἴκειν, ἀλλὰ μὴ αὐτὸν ταῖς ἐκείνων ἄγεσθαι ἐπιθυμίαις. Τούτου δὲ οὐδαμῶς ἐςιν ἐπιτυχεῖν, ἀλλ' ἢ διὰ τούτοιν τοῖν δυοῖν, τῆς τε τῶν ἐπαίνων ὑπεροψίας, καὶ τῆς ἐν τῷ λέγειν δυνάμεως. Κἂν γὰρ τὸ ἕτερον ἀπῇ, τὸ λειπόμενον ἄχρηςον γίνεται τῇ διαζεύξει θατέρου. Ἄν τε γὰρ ἐπαίνων ὑπερορῶν μὴ προσφέρῃ διδασκαλίαν τὴν ἐν χάριτι καὶ ἅλατι ἠρτυμένην, εὐκαταφρόνητος ὑπὸ τῶν πολλῶν γίνεται, οὐδὲν ἀπὸ τῆς μεγαλοψυχίας κερδάνας ἐκείνης· ἄν τε τοῦτο καλῶς κατορθώσας τὸ μέρος, τῆς ἀπὸ τῶν κρότων δόξης ἡττώμενος τύχῃ, εἰς ταὐτὸν πάλιν περιίςαται τὰ τῆς ζημίας αὐτῷ τε καὶ τοῖς πολλοῖς, πρὸς χάριν τῶν ἀκουόντων μᾶλλον, ἢ πρὸς ὠφέλειαν λέγειν μελετῶντι διὰ τὴν τῶν ἐπαίνων ἐπιθυμίαν. Καὶ καθάπερ ὁ μήτε πάσχων τι πρὸς τὰς εὐφημίας, μήτε λέγειν εἰδὼς οὔτε εἴκειν ταῖς τοῦ πλήθους ἡδοναῖς, οὔτε ὠφελεῖν ἀξιόλογόν τινα δύναται ὠφέλειαν τῷ μηδὲν ἔχειν εἰπεῖν, οὕτω καὶ ὁ τῷ πόθῳ τῶν ἐγκωμίων ἑλκόμενος, ἔχων ἀφ' ὧν ἀμείνους ἐργάσασθαι δυνήσεται τοὺς πολλοὺς, ἀντὶ τούτων παρέχει τὰ τέρψαι δυνάμενα μᾶλλον τούτων, τοὺς ἐν τοῖς κρότοις

3. θορύβους ὠνούμενος. Ἀμφοτέρωθεν οὖν ἰσχυρὸν εἶναι τὸν ἄριςον ἄρχοντα δεῖ, ἵνα μὴ θατέρῳ θάτερον ἀνατρέπηται. Ὅταν γὰρ ἀναςὰς ἐν τῷ μέσῳ, λέγῃ τὰ τοὺς ῥαθύμως ζῶντας ἐπιςύψαι δυνάμενα εἶτα προσπταίῃ καὶ διακόπτηται, καὶ ὑπὸ τῆς ἐνδείας ἐρυθριᾷν ἀναγκά-

κάζηται, διεῤῥύη τὸ κέρδος τῶν λεχθέντων εὐθέως. Οἱ γὰρ ἐπιτιμηθέντες ἀλγοῦντες τοῖς εἰρημένοις, καὶ οὐκ ἔχοντες αὐτὸν ἑτέρως ἀμύνασθαι, τοῖς τῆς ἀμαθίας αὐτὸν βάλλουσι σκώμμασι, τούτοις οἰόμενοι τὰ ἑαυτῶν συσκιάζειν ὀνείδη. Διὸ χρὴ, καθάπερ τινὰ ἡνίοχον ἄριστον, εἰς ἀκρίβειαν τούτων ἀμφοτέρων ἥκειν τῶν καλῶν, ἵνα ἀμφότερα πρὸς τὸ δέον αὐτῷ μεταχειρίζειν ἐξῇ. Καὶ γὰρ ὅταν αὐτὸς ἀνεπίληπτος ἅπασι γένηται, τότε δυνήσεται μεθ' ὅσης βούλεται ἐξουσίας καὶ κολάζειν καὶ ἀνιέναι τοὺς ὑπ' αὐτῷ ταττομένους ἅπαντας· πρὸ δὲ τούτου οὐκ εὐμαρὲς ταῦτα ποιεῖν. Τὴν δὲ μεγαλοψυχίαν, οὐ μέχρι τῆς τῶν ἐπαίνων ὑπεροψίας δείκνυσθαι χρὴ μόνον, ἀλλὰ καὶ περαιτέρω προάγειν, ἵνα μὴ πάλιν ἀτελὲς ᾖ τὸ κέρδος.

Τίνος οὖν δεῖται καὶ ἑτέρου καταφρονεῖν; Βασκα 4.
νίας καὶ φθόνου. Τὰς δὲ ἀκαίρους κατηγορίας (καὶ γὰρ ἀνάγκη τὸν προεστῶτα μέμψεις ὑπομένειν ἀλόγους) οὔτε ἀμέτρως δεδοικέναι καὶ τρέμειν, οὔτε ἁπλῶς παρορᾷν καλόν· ἀλλὰ χρὴ κἂν ψευδεῖς τυγχάνωσιν οὖσαι, κἂν παρὰ τῶν τυχόντων ἡμῖν ἐπάγωνται, πειρᾶσθαι σβεννύναι ταχέως αὐτάς. Οὐδὲν γὰρ οὕτως αὔξει φήμην πονήραν τε καὶ ἀγαθὴν, ὡς τὸ πλῆθος τὸ ἄτακτον· ἀβασανίστως γὰρ καὶ ἀκούειν καὶ ἐκλαλεῖν εἰωθὸς, ἁπλῶς τὸ ἐπελθὸν ἅπαν φθέγγεται, τῆς ἀληθείας οὐδένα ποιούμενον λόγον. Διὰ ταῦτα οὐ δεῖ τῶν πολλῶν καταφρονεῖν, ἀλλὰ ἀρχομένας εὐθέως ἐκκόπτειν τὰς ὑποψίας τὰς πονηρὰς, πείθοντα τοὺς ἐγκαλοῦντας, κἂν ἀλογώτατοι πάντων εἶεν, καὶ μηδὲν ὅλως ἐλλείπειν τῶν ἀφανίσαι δυναμένων δόξαν

οὐκ

οὐκ ἀγαθήν· ἣν δὲ, πάντα ποιούντων ἡμῶν, μὴ θέλωσιν οἱ μεμφόμενοι πείθεσθαι, τὸ τηνικαῦτα καταφρονεῖν. Ὡς ἐὰν φθάσῃ τις ταπεινοῦσθαι τοῖς συμπτώμασι τούτοις, οὐ δυνήσεταί ποτε γενναῖόν τι καὶ θαυμάστον ἀποτεκεῖν· ἡ γὰρ ἀθυμία, καὶ αἱ συνεχεῖς φροντίδες, δειναὶ καταβαλεῖν ψυχῆς δύναμιν, καὶ εἰς ἀσθένειαν καταγαγεῖν τὴν ἐσχάτην. Οὕτως οὖν χρὴ τὸν ἱερέα διακεῖσθαι πρὸς τοὺς ἀρχομένους, ὥσπερ ἂν εἰ πατὴρ πρὸς παῖδας ἄγαν νηπίους διακέοιτο· καὶ καθάπερ ἐκείνων οὔτε ὑβριζόντων, οὔτε πληττόντων, οὔτε ὀδυρομένων ἐπιστρεφόμεθα, ἀλλ' οὐδὲ, ἡνίκα ἂν γελῶσι καὶ προσχαίρωσιν ἡμῖν, μέγα ἐπὶ τούτῳ φρονοῦμέν ποτε, οὕτω καὶ τούτων μήτε τοῖς ἐπαίνοις ἐξογκοῦσθαι, μήτε καταπίπτειν τοῖς ψόγοις, ὅταν ἀκαίρως γίνωνται παρ' αὐτῶν. Χαλεπὸν δὲ τοῦτο, ὦ μακάριε, τάχα δὲ οἶμαι, ὅτι καὶ ἀδύνατον. Τὸ γὰρ μὴ χαίρειν ἐπαινούμενον, οὐκ οἶδα εἴ τινι ἀνθρώπων ποτὲ κατώρθωται· τὸν δὲ χαίροντα εἰκὸς καὶ ἐπιθυμεῖν καὶ ἀπολαύειν αὐτῶν· τὸν δὲ ἀπολαύειν ἐπιθυμοῦντα πάντως καὶ ἐν ταῖς τούτων ἀποτυχίαις λυπεῖσθαι, καὶ ἐκκλίνειν, καὶ ἀνιᾶσθαι, καὶ ἀλγεῖν ἀνάγκη. Ὥσπερ γὰρ οἱ γαννύμενοι τῷ πλουτεῖν, ἡνίκα ἂν καταπέσωσιν εἰς πενίαν, ἄχθονται, καὶ οἱ τρυφᾷν εἰωθότες οὐκ ἂν ἀνάσχοιντο ζῆν εὐτελῶς, οὕτω καὶ οἱ τῶν ἐγκωμίων ἐρῶντες, οὐχ ὅταν ψέγωνται μόνον εἰκῇ, ἀλλὰ καὶ ὅταν μὴ ἐπαινῶνται συνεχῶς, καθάπερ λιμῷ τινι διαφθείρονται τὴν ψυχὴν, καὶ μάλιστα ὅταν αὐτοῖς ἐντραφέντες τύχωσιν, ἢ καὶ ἑτέρους ἐπαινουμένους ἀκούωσι. Τὸν δὲ μετὰ ταύτης τῆς ἐπιθυμίας εἰς τὸν τῆς διδασκα-

λίας

λίας ἀγῶνα παρελθόντα πόσα πράγματα καὶ πόσας ἔχειν οἴει τὰς ἀλγηδόνας; Οὔτε τὴν θάλατταν ἐστι κυμάτων ἐκτὸς εἶναί ποτε, οὔτε τὴν ἐκείνου ψυχὴν φροντίδων καὶ λύπης. Καὶ γὰρ ὅταν πολλὴν ἐν τῷ λέγειν δύναμιν ἔχῃ (τοῦτο δὲ ἐν ὀλίγοις εὕροι τις ἄν), οὐδὲ οὕτω τοῦ πονεῖσθαι διηνεκῶς ἀπήλλακται. Ἐπειδὴ γὰρ οὐ φύσεως ἀλλὰ μαθήσεως τὸ λέγειν, κἂν εἰς ἄκρον αὐτοῦ τις ἀφίκηται, τότε αὐτὸν ἀφίησιν ἔρημον, ἂν μὴ συνεχεῖ σπουδῇ καὶ γυμνασίᾳ ταύτην θεραπεύῃ τὴν δύναμιν. Ὥσε τοῖς σοφωτέροις μᾶλλον, ἢ τοῖς ἀμαθεσέροις μείζων ὁ πόνος. Οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ἡ ζημία, ἀμελοῦσι τούτοις κἀκείνοις, ἀλλὰ τοσοῦτον αὕτη πλείων, ὅσον καὶ τῆς κτήσεως ἑκατέρας τὸ μέσον. Κἀκείνοις μὲν οὐδ᾽ ἂν ἐγκαλέσειέ τις, μηδὲν ἄξιον λόγου παρέχουσιν· οὗτοι δὲ, εἰ μὴ μείζονα τῆς δόξης, ἧς ἅπαντες ἔχουσι περὶ αὐτῶν, ἀεὶ προφέροιεν, πολλὰ παρὰ πάντων ἕπεται τὰ ἐγκλήματα. Πρὸς δὲ τούτοις ἐκεῖνοι μὲν καὶ ἐπὶ μικροῖς μεγάλων ἂν τύχοιεν τῶν ἐπαίνων, τὰ δὲ τούτων, ἂν μὴ λίαν ᾖ θαυμασὰ καὶ ἔκπληκτα, οὐ μόνον ἐγκωμίων ἐσέρηται, ἀλλὰ καὶ τοὺς μεμφομένους ἔχει πολλούς. Οὐ γὰρ τοῖς λεγομένοις, ὡς ταῖς τῶν λεγόντων δόξαις, κάθηνται δικάζοντες οἱ ἀκροαταί. Ὥστε ὅταν κρατῇ τις ἁπάντων ἐν τῷ λέγειν, τότε μάλιστα πάντων αὐτῷ δεῖ πεπονημένης σπουδῆς; οὐδε γὰρ τοῦτο, ὃ κοινὸν τῆς ἀνθρωπείας φύσεώς ἐςι, τὸ μὴ πάντα ἐπιτυγχάνειν, ἔξεσιν ἐκείνῳ παθεῖν· ἀλλ᾽, ἂν μὴ δι᾽ ὅλου συμφωνῇ τῷ μεγέθει τῆς ὑπολήψεως αὐτοῦ τὰ λεγόμενα, σκώμματα μυρία καὶ μέμψεις λαβὼν ἄπεισι παρὰ τῶν πολλῶν. Καὶ οὐδεὶς ἐκεῖνο λογίζεται πρὸς αὐ-

αὐτὸν, ὅτι καὶ ἀθυμία προσπεσοῦσα, καὶ ἀγωνία, καὶ φροντὶς, πολλάκις δὲ καὶ θυμὸς ἐπεσκότησε τῷ τῆς διανοίας καθαρῷ, καὶ τὰ τικτόμενα οὐκ ἀφῆκεν προελθεῖν εἰλικρινῆ· καὶ ὅτι ὅλως ἄνθρωπον ὄντα οὐκ ἔϛι διὰ παντὸς εἶναι τὸν αὐτὸν, οὐδὲ ἐν ἅπασιν εὐημερεῖν· ἀλλ' εἰκός ποτε καὶ διαμαρτεῖν, καὶ ἐλάττονα τῆς οἰκείας δειχθῆναι δυνάμεως. Τούτων οὐδὲν, ὅπερ ἔφην, ἐννοῆσαι βούλονται ἀλλ' ὥσπερ ἀγγέλῳ δικάζοντες ἐπάγουσι τὰς αἰτίας. Καὶ ἄλλως δὲ πέφυκεν ἄνθρωπος τὰ μὲν κατορθώματα τοῦ πλησίον καὶ πολλὰ ὄντα καὶ μεγάλα παρορᾷν· ἢν δὲ ἐλάττωμά που φανῇ, κἂν τὸ τυχὸν ᾖ, κἂν διὰ πολλοῦ συμβεβηκὸς, καὶ ἐπαισθάνεται ταχέως, καὶ ἐπιλαμβάνεται προχείρως, καὶ μέμνηται διαπαντός. Καὶ τὸ μικρὸν τοῦτο καὶ εὐτελὲς, τὴν τῶν πολλῶν καὶ μεγάλων ἠλάττωσε δόξαν πολλάκις.

6. Ὁρᾷς, ὦ γενναῖε, ὅτι μάλιϛα τῷ λέγειν δυναμένῳ πλείονος δεῖ τῆς σπουδῆς· πρὸς δὲ τῇ σπουδῇ καὶ ἀνεξικακίας τοσαύτης, ὅσης οὐδὲ ἅπαντες, ὅσους πρότερόν σοι διῆλθον, ἐδέοντο. Πολλοὶ γὰρ αὐτῷ συνεχῶς ἐπιφύονται μάτην καὶ εἰκῇ, καὶ οὐδὲν ἔχοντες ἐγκαλεῖν, πλὴν παρὰ πᾶσιν εὐδοκιμεῖν, ἀπεχθάνονται. Καὶ δεῖ γενναίως φέρειν τὴν πικρὰν τούτων βασκανίαν. Τὸ γὰρ ἐπάρατον τοῦτο μῖσος, ὅπερ εἰκῇ συλλέγουσιν, οὐ ϛέγοντες κρύπτειν, καὶ λοιδοροῦνται, καὶ μέμφονται, καὶ διαβάλλουσι λάθρα, καὶ πονηρεύονται φανερῶς. Ψυχὴ δὲ ἀρξαμένη καθ' ἕκαϛον τούτων ἀλγεῖν καὶ παροξύνεσθαι, οὐκ ἂν φθάσειε διαφθαρεῖσα τῇ λύπῃ. Καὶ γὰρ οὐ δι' ἑαυτῶν αὐτὸν ἀμύνονται μόνον, ἀλλὰ καὶ δι' ἑτέρων τοῦτο ποιεῖν ἐπιχειροῦσι· καὶ πολ-

πολλάκις τινὰ τῶν οὐδὲν δυναμένων εἰπεῖν ἐκλεξάμενοι, τοῖς ἐπαίνοις ἐπαίρουσι, καὶ θαυμάζουσιν ὑπὲρ τὴν ἀξίαν· οἱ μὲν μανίᾳ μόνον, οἱ δὲ καὶ ἀμαθίᾳ καὶ φθόνῳ τοῦτο ποιοῦντες, ἵνα τὴν δόξαν τούτου καθέλωσιν, οὐχ ἵνα δείξωσι θαυμαστὸν τὸν οὐκ ὄντα τοιοῦτον. Οὐ πρὸς τούτους δὲ μόνον ἐκείνῳ τῷ γενναίῳ ὁ ἀγὼν, ἀλλὰ καὶ πρὸς ἀπειρίαν ὅλου δήμου πολλάκις. Ἐπειδὴ γὰρ οὐκ ἔνεστιν ἐξ ἐλλογίμων ἀνδρῶν συλλέγεσθαι τοὺς συνερχομένους ἅπαντας, ἀλλὰ τὸ πλέον τῆς Ἐκκλησίας μέρος ἐξ ἰδιωτῶν συνῆχθαι συμβαίνει, τοὺς δὲ λοιποὺς καὶ αὐτοὺς ἐκείνων μὲν εἶναι συνετωτέρους, τῶν δὲ λόγους κρῖναι δυναμένων λείπεσθαι πολλῷ πλέον, ἢ ὅσον ἐκείνων οἱ λοιποὶ πάντες, ἕνα δὲ μόνον ἢ δεύτερον καθῆσθαι τὸν ταύτην κεκτημένον τὴν ἀρετὴν, ἀνάγκη τὸν ἄμεινον εἰπόντα ἐλάττονας ἀπενέγκασθαι κρότους, ἔστι δὲ ὅτε μηδὲ ἐπαινεθέντα ἀπελθεῖν. Καὶ δεῖ πρὸς ταύτας γενναίως παρεσκευάσθαι τὰς ἀνωμαλίας, καὶ τοῖς μὲν δι' ἀμαθίαν ταῦτα πάσχουσι συγγινώσκειν, τοὺς δὲ διὰ φθόνον τοῦτο ὑπομένοντας δακρύειν, ὡς ἀθλίους ὄντας καὶ ἐλεεινοὺς, μηδετέρῳ δὲ τούτων ἐλάττω τὴν αὑτοῦ νομίζειν γεγενῆσθαι δύναμιν. Οὐδὲ γὰρ, εἰ ζωγράφος ὢν ἄριστος, καὶ πάντων κατὰ τὴν τέχνην κρατῶν, τὴν μετὰ πολλῆς τῆς ἀκριβείας ἀναγεγραμμένην εἰκόνα ὑπὸ τῶν τῆς τέχνης ἀπείρων σκωπτομένην ἑώρα, ἔδει καταπεσεῖν, καὶ τῇ κρίσει τῶν οὐκ εἰδότων φαύλην ἡγεῖσθαι τὴν γραφὴν, ὥσπερ οὐδὲ τὴν ὄντως φαύλην, θαυμαστήν τινα καὶ ἐπέραστον, ἀπὸ τῆς τῶν ἀτέχνων ἐκπλήξεως. Ὁ γὰρ ἄριστος δημιουρ- 7.
γὸς, αὐτὸς ἔστω καὶ κριτὴς τῶν αὑτοῦ τεχνημάτων, καὶ καλὰ καὶ φαῦλα ταύτῃ τιθέσθω τὰ γινόμενα,

ὅταν

ὅταν ὁ τεχνησάμενος αὐτὰ νοῦς ταύτας φέρῃ τὰς ψήφους· τὴν δὲ τῶν ἔξωθεν δόξαν, τὴν πεπλανημένην καὶ ἄτεχνον, μηδὲ εἰς νοῦν βαλέσθω ποτέ. Μὴ τοίνυν μήτε ὁ τῆς διδασκαλίας ἀναδεξάμενος τὸν ἀγῶνα, ταῖς τῶν ἔξωθεν εὐφημίαις προσεχέτω, μηδὲ ἀπὸ τούτων τὴν ἑαυτοῦ καταβαλλέτω ψυχήν· ἀλλ' ἐργαζόμενος τοὺς λόγους, ὡς ἂν ἀρέσειε τῷ Θεῷ (οὗτος γὰρ αὐτῷ κανὼν καὶ ὅρος ἔσω μόνος τῆς ἀρίστης δημιουργίας ἐκείνων, μὴ κρότοι, μηδὲ εὐφημίαι), εἰ μὲν ἐπαινεῖται καὶ παρὰ τῶν ἀνθρώπων, μὴ διακρουέσθω τὰ ἐγκώμια, μὴ παρεχόντων δὲ αὐτὰ τῶν ἀκροατῶν, μὴ ζητείτω, μηδὲ ἀλγείτω. Ἱκανὴ γὰρ αὐτῷ παραμυθία τῶν πόνων, καὶ πάντων μείζων, ὅταν ἑαυτῷ συνειδέναι δύνηται, πρὸς ἀρέσκειαν τοῦ Θεοῦ συντιθεὶς καὶ ῥυθμί-
8. ζων τὴν διδασκαλίαν. Καὶ γὰρ ἂν φθάσῃ τῇ τῶν ἀλόγων ἐπαίνων ἐπιθυμίᾳ ἁλῶναι, οὐδὲν αὐτῷ τῶν πολλῶν πόνων ὄφελος, οὐδὲ τῆς ἐν τῷ λέγειν δυνάμεως. Τὰς γὰρ ἀνοήτους τῶν πολλῶν καταγνώσεις μὴ δυναμένη φέρειν ψυχὴ, ἐκλύεται, καὶ τὴν περὶ τὸ λέγειν ῥίπτει σπουδήν. Διὰ τοῦτο χρὴ μάλιστα πάντων πεπαιδεῦσθαι ἐπαίνων ὑπερορᾷν· οὐ γὰρ ἀρκεῖ τὸ λέγειν εἰδέναι πρὸς τὴν ταύτης τῆς δυνάμεως φυλακὴν, ἂν μὴ καὶ τοῦτο προσῇ. Εἰ δέ τις ἀκριβῶς ἐξετάζειν ἐθέλοι καὶ τὸν ἐν ἐνδείᾳ καθεστῶτα ταύτης τῆς ἀρετῆς, εὑρήσει δεόμενον τοῦ τῶν ἐπαίνων καταφρονεῖν οὐχ ἧττον ἢ τοῦτον. Καὶ γὰρ πολλὰ ἁμαρτάνειν ἀναγκασθήσεται, τῆς τῶν πολλῶν δόξης ἥττων γενόμενος. Ἀτονῶν γὰρ ἐξισωθῆναι τοῖς εὐδοκιμοῦσι κατὰ τὴν τοῦ λέγειν ἀρετὴν, ἐπιβουλεύειν τε καὶ διαφθονεῖσθαι αὐτοῖς, καὶ μέμφεσθαι μάτην, καὶ πολλὰ τοι-

τοιαῦτα ἀσχημονεῖν οὐ παραιτήσεται, ἀλλὰ πάντα τολμήσει, κἂν τὴν ψυχὴν ἀπολέσαι δέῃ, ὑπὲρ τοῦ τὴν ἐκείνων δόξαν εἰς τὴν τῆς ἰδίας εὐτελείας καταγαγεῖν ταπεινότητα. Πρὸς δὲ τούτοις καὶ τῶν ἱδρώτων ἀποστήσεται τῶν περὶ τὸ πονεῖν, νάρκης ὥσπερ τινὸς κατασκεδασθείσης αὐτοῦ τῇ ψυχῇ. Τὸ γὰρ πολλὰ μοχθοῦντα ἐλάττονα καρποῦσθαι ἐγκώμια, ἱκανὸν καταβαλεῖν καὶ τρέψαι πρὸς ὕπνον βαθὺν τὸν οὐ δυνάμενον ἐγκωμίων καταφρονεῖν. Ἐπεὶ καὶ ὁ γεωργὸς, ὅταν εἰς λεπτόγειον κάμνῃ χωρίον, καὶ πέτρας ἀναγκάζηται γεωργεῖν, ταχέως ἀφίσαται τοῦ πονεῖν, ἢν μὴ πολλὴν περὶ τὸ πρᾶγμα κεκτημένος ᾖ τὴν προθυμίαν, ἢ λιμοῦ δέος ἐπικείμενον ἔχῃ. Εἰ γὰρ οἱ μετὰ πολλῆς τῆς ἐξουσίας δυνάμενοι λέγειν τοσαύτης δέονται τῆς γυμνασίας πρὸς τὴν τῆς κτήσεως φυλακὴν ὁ μηδὲν ὅλως συναγαγὼν, ἀλλ' ἐν τοῖς ἀγῶσιν ἀναγκαζόμενος μελετᾷν, πόσην ὑποσήσεται τὴν δυσχέρειαν, πόσον θόρυβον, πόσην ταραχὴν, ἵνα πολλῷ τῷ μόχθῳ μικρόν τι συναγαγεῖν δυνηθῇ; Ἐὰν δέ τις καὶ τῶν μετ' αὐτὸν τεταγμένων, καὶ τὴν ἐλάττω τάξιν λαχόντων, ἐν τῷ μέρει τούτῳ μᾶλλον ἐκείνου διαφανῆναι δυνηθῇ, θείας τινὸς δεῖ ψυχῆς ἐνταῦθα, ὥςε μὴ ἁλῶναι βασκανίᾳ, μηδὲ ὑπὸ ἀθυμίας καταπεσεῖν. Τὸ γὰρ ὑπὸ τῶν ἐλαττόνων παρευημερεῖσθαι αὐτὸν ἐν ἀξιώματι καθεςῶτα μείζονι, καὶ φέρειν γενναίως, οὐ τῆς τυχούσης, οὐδὲ τῆς ἡμετέρας, ἀλλὰ τινος ἀδαμαντίνης ἂν εἴη ψυχῆς. Κἂν μὲν ἐπιεικὴς ᾖ, καὶ μέτριος ἄγαν, ὁ παρευδοκιμῶν, φορητὸν ὁπωσοῦν γίνεται τὸ πάθος· ἂν δὲ καὶ θρασὺς, καὶ ἀλαζὼν, καὶ φιλόδοξος, θάνατον ἐκείνῳ καθ' ἑκάςην εὐκτέον ἡμέραν· οὕτως

αὐτῷ πικρὰν κατασήσει τὴν ζωὴν, ὑπερβαίνων Φανερῶς, καταμωκώμενος λάθρα, τῆς ἐξουσίας πολλὰ παρασπῶν τῆς ἐκείνου, πάντα αὐτὸς εἶναι βουλόμενος. Μεγίσην δὲ ἐν ἅπασι τούτοις τὴν ἀσφάλειαν, τὴν ἐν τῷ λέγειν κέκτηται παῤῥησίαν, καὶ τὴν τοῦ πλήθους περὶ αὐτὸν σπουδὴν, καὶ τὸ Φιλεῖσθαι παρὰ τῶν ἀρχομένων ἁπάντων. Ἢ οὐκ οἶδας, ὅσος ταῖς τῶν Χρισιανῶν ψυχαῖς λόγων ἔρως εἰσεκώμασε νῦν, καὶ ὅτι μάλισα πάντων οἱ τούτους ἀσκοῦντες ἐν τιμῇ οὐ παρὰ τοῖς ἔξωθεν μόνον, ἀλλὰ καὶ παρὰ τοῖς τῆς πίσεως οἰκείοις; Πῶς οὖν ἄν τις ἐνέγκοι τοσαύτην αἰσχύνην, ὅταν αὐτοῦ μὲν Φθεγγομένου πάντες σιγῶσι, καὶ διενοχλεῖσθαι νομίζωσι, καὶ τοῦ λόγου τὸ τέλος, ὥσπερ τινὰ πόνων ἀνάπαυσιν, περιμένωσι, θατέρου δὲ καὶ μακρὰ λέγοντος μετὰ μακροθυμίας ἀκούωσιν, καὶ παύσεσθαι μέλλοντος, δυσχεραίνωσι, καὶ σιγᾶν βουλομένου, παροξύνωνται; Ταῦτα γὰρ εἰ καὶ μικρά σοι δοκεῖ νῦν εἶναι, καὶ εὐκαταΦρόνητα, διὰ τὸ ἀπείρατον, ἀλλ᾽ ἱκανά γέ ἐσι προθυμίαν σβέσαι, καὶ ψυχῆς παραλῦσαι δύναμιν, ἢν μὴ πάντων τις ἑαυτὸν τῶν ἀνθρωπίνων ἀνασπάσας παθῶν, ὁμοίως ταῖς ἀσωμάτοις μελετήσῃ διακεῖσθαι δυνάμεσιν, αἳ μήτε Φθόνῳ, μήτε δόξης ἔρωτι, μήτε ἑτέρῳ τινὶ τοιούτῳ θηρῶνται νοσήματι. Εἰ μὲν οὖν τίς ἐσιν ἀνθρώπων τοιοῦτος, ὡς δύνασθαι τὸ δυσθήρατον τοῦτο καὶ ἀκαταγώνισον καὶ ἀνήμερον θηρίον, τὴν τῶν πολλῶν δόξαν, καταπατεῖν, καὶ τὰς πολλὰς αὐτῆς ἐκτεμεῖν κεΦαλὰς, μᾶλλον δὲ μηδὲ Φῦναι τὴν ἀρχὴν συγχωρεῖν, δυνήσεται εὐκόλως καὶ τὰς πολλὰς ταύτας ἀποκρούεσθαι προσβολὰς, καὶ εὐδίου τινὸς ἀπολαύειν λιμένος. Ταύτης δὲ οὐκ ἀπηλλαγμένος πόλεμόν τινα πο-

πολυειδῆ, καὶ θόρυβον συνεχῆ, καὶ ἀθυμίας, καὶ τῶν λοιπῶν παθῶν τὸν ὄχλον κατασκευάζει τῆς ἑαυτοῦ ψυχῆς. Τί δεῖ τὰς λοιπὰς καταλέγειν δυσκολίας, ἃς οὔτε εἰπεῖν οὔτε μαθεῖν δυνήσεταί τις, μὴ ἐπὶ τῶν πραγμάτων γενόμενος αὐτῶν;

IV.

Ex Eusebii
Historia Ecclesiastica. (1)

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΕΚΚΛΗΣΙΑΣΤΙΚΗΣ ΙΣΤΟΡΙΑΣ.

ΛΟΓΟΣ α′.

ΚΕΦΑΛΑΙΟΝ α′.

Τίς τῆς ἐπαγγελίας ὑπόθεσις.

Τὰς τῶν ἱερῶν Ἀποστόλων διαδοχὰς, σὺν καὶ τοῖς ἀπὸ τοῦ Σωτῆρος ἡμῶν καὶ εἰς ἡμᾶς διηνυσμένοις χρόνοις, ὅσα τε καὶ πηλίκα πραγματευθῆναι κατὰ τὴν ἐκκλησιαστικὴν ἱστορίαν λέγεται, καὶ ὅσοι ταύτης διαπρεπῶς ἐν ταῖς μάλιστα ἐπισημοτάταις παροικίαις ἡγήσαντό τε καὶ προέστησαν, ὅσοι τε κατὰ γενεὰν ἑκάστην ἀγρά-

(1) Pauca ex hoc libro referuntur, cum plura jam occurrunt in *Chrestom. Patrist.* Part. I. p. 4-10, 22-25, 29-32.

ἀγράφως ἢ καὶ διὰ συγγραμμάτων τὸν θεῖον ἐπρέσβευσαν λόγον, τίνες τε καὶ ὅσοι καὶ ὁπηνίκα νεωτεροποιΐας ἱμέρῳ πλάνης εἰς ἔσχατον ἐλάσαντες, ψευδωνύμου γνώσεως εἰσηγητὰς ἑαυτοὺς ἀνακεκηρύχασιν, ἀφειδῶς οἷα λύκοι βαρεῖς τὴν τοῦ Χριςοῦ ποίμνην ἐπεντρίβοντες, προσέτι τούτοις καὶ τὰ παραυτίκα, τῆς κατὰ τοῦ Σωτῆρος ἡμῶν ἕνεκεν ἐπιβουλῆς, τὸ πᾶν Ἰουδαίων ἔθνος περιελθόντα, ὅσα τε αὖ καὶ ὁποῖα καθ' οὕς τε χρόνους πρὸς τῶν ἐθνῶν ὁ θεῖος πεπολέμηται λόγος, καὶ πηλίκοι κατὰ καιροὺς τοὺς δι' αἵματος καὶ βασάνων ὑπὲρ αὐτοῦ διεξῆλθον ἀγῶνας, τά τ' ἐπὶ τούτοις καὶ καθ' ἡμᾶς αὐτοὺς μαρτύρια, καὶ τὴν ἐπὶ πᾶσιν ἵλεω καὶ εὐμενῆ τοῦ Σωτῆρος ἡμῶν ἀντίληψιν γραφῇ παραδοῦναι προῃρημένος, οὐκ ἄλλοθεν ἢ ἀπὸ πρώτης ἄρξομαι τῆς κατὰ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριςὸν τοῦ Θεοῦ οἰκονομίας. Ἀλλά μοι συγγνώμην ἤδη εὐγνωμονῶν ἐντεῦθεν ὁ λόγος αἰτεῖ, μεῖζον ἢ καθ' ἡμετέραν δύναμιν ὁμολογῶν εἶναι, τὴν ἐπαγγελίαν ἐντελῆ καὶ ἀπαράλειπτον ὑποσχήσειν. Ἐπεὶ καὶ πρῶτοι νῦν τῆς ὑποθέσεως ἐπιβάντες, οἷά τινα ἐρήμην καὶ ἀτριβῆ ἰέναι ὁδὸν ἐγχειροῦμεν, Θεὸν μὲν ὁδηγὸν καὶ τὴν τοῦ Κυρίου συνεργὸν σχήσειν εὐχόμενοι δύναμιν ἀνθρώπων γε μὴν οὐδαμῶς εὑρεῖν οἷοί τε ὄντες ἴχνη γυμνὰ τὴν αὐτὴν ἡμῖν προωδευκότων ὁδόν, μὴ ὅτι σμικρὰς αὐτὸ μόνον προφάσεις, δι' ὧν ἄλλος ἄλλως ὧν διηνύκασι χρόνων μερικὰς ἡμῖν καταλελοίπασι διηγήσεις, πόῤῥωθεν, ὡσπερεὶ πυρσοὺς, τὰς ἑαυτῶν προανατείναντες φωνὰς, καὶ ἄνωθέν ποθεν ὥσπερ ἐξ ἀπόπτου καὶ ἀπὸ σκοπιᾶς βοῶντες, καὶ διακελευόμενοι ᾗ χρὴ βαδίζειν, καὶ τὴν τοῦ λόγου πορείαν ἀπλανῶς

καὶ

καὶ ἀκινδύνως εὐθύνειν. Ὅσα τοίνυν εἰς τὴν προκειμένην λυσιτελήσειν ὑπόθεσιν ἡγούμεθα, τῶν αὐτοῖς ἐκείνοις σποράδην μνημονευθέντων ἀναλεξάμενοι, καὶ ὡς ἂν ἐκ λογικῶν λειμώνων τὰς ἐπιτηδείους αὐτῶν τῶν πάλαι συγγραφέων ἀπανθισάμενοι φωνὰς, δι' ὑφηγήσεως ἱστορικῆς πειρασόμεθα σωματοποιῆσαι· ἀγαπῶντες εἰ καὶ μὴ ἁπάντων, τῶν γοῦν μάλιστα διαφανεστάτων τοῦ Σωτῆρος ἡμῶν Ἀποστόλων τὰς διαδοχὰς κατὰ τὰς διαπρεπούσας καὶ ἔτι καὶ νῦν μνημονευομένας ἐκκλησίας, ἀνασωσαίμεθα. Ἀναγκαιότατα δέ μοι πονεῖσθαι τὴν ὑπόθεσιν ἡγοῦμαι, ὅτι μηδένα πω εἰς δεῦρο τῶν ἐκκλησιαστικῶν συγγραφέων διέγνων περὶ τοῦτο τῆς γραφῆς σπουδὴν πεποιημένον τὸ μέρος. Ἐλπίζω δ' ὅτι καὶ ὠφελιμωτάτη τοῖς φιλοτίμοις περὶ τὸ χρηστομαθὲς τῆς ἱστορίας ἔχουσιν ἀναφανήσεται. Ἤδη μὲν οὖν τούτων καὶ πρότερον, ἐν οἷς διετυπωσάμην χρονικοῖς κανόσιν, ἐπιτομὴν κατεστησάμην. Πληρεστάτην δ' οὖν ὅμως αὐτῶν ἐπὶ τοῦ παρόντος ὡρμήθην τὴν ἀφήγησιν ποιήσασθαι. Καὶ ἄρξεται γέ μοι ὁ λόγος, ὡς ἔφην, ἀπὸ τῆς κατὰ τὸν Σωτῆρα Χριστὸν ἐπινοουμένης ὑψηλοτέρας τε καὶ κρείττονος ἢ κατὰ ἄνθρωπον οἰκονομίας τε καὶ θεολογίας. Καὶ γὰρ οὖν τὸν γραφῇ μέλλοντα τῆς ἐκκλησιαστικῆς ὑφηγήσεως παραδώσειν τὴν ἱστορίαν, ἄνωθεν ἐκ πρώτης τῆς κατ' αὐτὸν τὸν Χριστὸν, ὅτι περ ἐξ αὐτοῦ καὶ τῆς προσωνυμίας ἠξιώθημεν, θειοτέρας ἢ κατὰ τὸ δοκοῦν τοῖς πολλοῖς οἰκονομίας, ἀναγκαῖον ἂν εἴη κατάρξασθαι.

ΚΕΦΑΛΑΙΟΝ β'.

Ἐπιτομὴ κεφαλαιώδης περὶ τῆς κατὰ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν ἸΗΣΟΥΝ ΧΡΙΣΤΟΝ προϋπάρξεώς τε καὶ θεολογίας.

Διττοῦ δὲ ὄντος τοῦ κατ' αὐτὸν τρόπου, καὶ τοῦ μὲν σώματος ἐοικότος κεφαλῇ, ᾗ Θεὸς ἐπινοεῖται, τοῦ δὲ ποσὶ παραβαλλομένου, ᾗ τὸν ἐν ἡμῖν ἄνθρωπον ὁμοιοπαθῆ τῆς ἡμῶν ἕνεκεν αὐτῶν ὑπέδυ σωτηρίας, γένοιτ' ἂν ἡμῖν ἐντεῦθεν ἐντελὴς ἡ τῶν ἀκολούθων διήγησις, εἰ τῆς κατ' αὐτὸν ἱϛορίας ἁπάσης ἀπὸ τῶν κεφαλαιωδεϛάτων καὶ κυριωτάτων τοῦ λόγου τὴν ὑφήγησιν ποιησαίμεθα. Ταύτῃ δὲ ἤδη καὶ τῆς Χριϛιανῶν ἀρχαιότητος τὸ παλαιὸν ὁμοῦ καὶ θεοπρεπὲς, τοῖς νέαν αὐτὴν καὶ ἐκτετοπισμένην, χθὲς καὶ οὐ πρότερον φανεῖσαν ὑπολαμβάνουσιν, ἀναδειχθήσεται

Γένους μὲν οὖν καὶ ἀξίας, αὐτῆς τε οὐσίας τῆς τοῦ Χριϛοῦ καὶ φύσεως, οὔτις ἂν εἰς ἔκφρασιν αὐτάρκης γένοιτο λόγος. Ἧι καὶ τὸ πνεῦμα τὸ θεῖον ἐν προφητείαις, τὴν γενεὰν αὐτοῦ, φησὶ, τίς διηγήσεται; Ὅτι δὴ οὔτε τὸν πατέρα τὶς ἔγνω, εἰ μὴ ὁ υἱὸς, οὔτ' αὖ τὸν υἱόν τις γνῴη ποτὲ κατ' ἀξίαν, εἰ μὴ μόνος ὁ γεννήσας αὐτὸν πατήρ· τό τε φῶς τὸ προκόσμιον καὶ τὴν πρὸ αἰώνων νοερὰν καὶ οὐσιώδη σοφίαν, τόν τε ζῶντα καὶ ἐν ἀρχῇ παρὰ τῷ πατρὶ τυγχάνοντα Θεὸν λόγον, τίς ἂν πλὴν τοῦ πατρὸς καθαρῶς ἐννοήσειε, πρὸ πάσης κτίσεως καὶ δημιουργίας ὁρωμένης τε καὶ ἀοράτου, τὸ πρῶτον καὶ μόνον τοῦ Θεοῦ γέννημα, τὸν τῆς κατ' οὐρανὸν λογικῆς καὶ ἀθανάτου

ϛρα-

ςρατιᾶς ἀρχιςράτηγον, τὸν τῆς μεγάλης βουλῆς ἄγγελον, τὸν τῆς ἀῤῥήτου γνώμης τοῦ πατρὸς ὑπουργὸν, τὸν τῶν ἁπάντων σὺν τῷ πατρὶ δημιουργὸν, τὸν δεύτερον μετὰ τὸν πατέρα τῶν ὅλων αἴτιον, τὸν τοῦ Θεοῦ παῖδα γνήσιον καὶ μονογενῆ, τὸν τῶν γεννητῶν ἁπάντων Κύριον καὶ Θεὸν καὶ βασιλέα, τὸν τὸ κῦρος ὁμοῦ καὶ τὸ κράτος αὐτῇ θεότητι καὶ δυνάμει καὶ τιμῇ παρὰ τοῦ πατρὸς ὑποδεδεγμένον, ὅτι δὴ κατὰ τὰς περὶ αὐτοῦ μυςικὰς τῶν γραφῶν θεολογίας· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος, πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Τοῦτό τοι καὶ ὁ μέγας Μωϋσῆς, ὡς ἂν προφητῶν ἁπάντων παλαιότατος, θείῳ πνεύματι τὴν τοῦ παντὸς οὐσίωσιν τε καὶ διακόσμησιν ἀπογράφων, τὸν κοσμοποιὸν καὶ δημιουργὸν τῶν ὅλων, αὐτῷ δὴ τῷ Χριςῷ, καὶ οὐδὲ ἄλλῳ ἢ τῷ θείῳ δηλαδὴ καὶ πρωτογόνῳ ἑαυτοῦ λόγῳ τὴν τῶν ὑποβεβηκότων ποίησιν παραχωροῦντα διδάσκει, αὐτῷ τε κοινολογούμενον ἐπὶ τῆς ἀνθρωπογονίας. Εἶπε γὰρ, φησὶν, ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. Ταύτην δὲ ἐγγυᾶται τὴν φωνὴν προφητῶν ἄλλος, ὧδέ πως ἐν ὕμνοις θεολογῶν· „αὐτὸς εἶπε, καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο, καὶ ἐκτίσθησαν." Τὸν μὲν πατέρα καὶ ποιητὴν εἰσάγων ὡς ἂν πανηγεμόνα, βασιλικῷ νεύματι προςάττοντα· τὸν δὲ τούτῳ δευτερεύοντα Θεῖον λόγον, οὐχ ἕτερον τοῦ πρὸς ἡμῶν κηρυττομένου, ταῖς πατρικαῖς ἐπιτάξεσιν ὑπουργοῦντα. Τοῦτον καὶ οἱ ἀπὸ τῆς πρώτης ἀνθρωπογονίας πάντες, ὅσοι δὴ δικαιοσύνῃ καὶ θεοσεβείας ἀρετῇ διαπρέψαι λέγονται, ἀμφί τε τὸν μέγαν θεράποντα Μωϋσέα, καὶ

πρὸ

πρό γε αὐτοῦ πρῶτος Ἀβραὰμ, τούτου τε οἱ παῖδες καὶ ὅσοι μετέπειτα δίκαιοι πεφήνασι καὶ προφῆται, καθαροῖς διανοίας ὄμματι φαντασθέντες, ἔγνωσάν τε καὶ οἷα Θεοῦ παιδὶ τὸ προσῆκον ἀπένειμαν σέβας. Αὐτὸς δὲ οὐδαμῶς ἀποῤῥαθυμῶν τῆς τοῦ πατρὸς εὐσεβείας, διδάσκαλος τοῖς πᾶσι τῆς πατρικῆςκα θίςαται γνώσεως. Ὤφθαι γοῦν Κύριος ὁ Θεὸς ἀνείρηται οἷά τις κοινὸς ἄνθρωπος τῷ Ἀβραὰμ καθημένῳ παρὰ τὴν δρῦν τὴν Μαμβρῆ. Ὁ δ᾽ ὑποπεσὼν αὐτίκα καίτοιγε ἄνθρωπον ὀφθαλμοῖς ὁρῶν, προσκυνεῖ μὲν ὡς Θεὸν, ἱκετεύει δὲ ὡς Κύριον. Ὁμολογεῖ τε μὴ ἀγνοεῖν ὅςις εἴη, ῥήμασιν αὐτοῖς λέγων· „Κύριε ὁ κρίνων πᾶσαν τὴν γὴν, οὐ ποιήσεις κρίσιν;" εἰ γὰρ μηδεὶς ἐπιτρέποι λόγος τὴν ἀγέννητον καὶ ἄτρεπτον οὐσίαν Θεοῦ τοῦ παντοκράτορος εἰς ἀνδρὸς εἶδος μεταβάλλειν, μὴ δ᾽ αὖ γεννητοῦ μηδενὸς φαντασίᾳ τὰς τῶν ὁρώντων ὄψεις ἐξαπατᾷν, μηδὲ μὴν ψευδῶς τὰ τοιαῦτα πλάττεσθαι τὴν γραφὴν, Θεὸς καὶ Κύριος ὁ κρίνων πᾶσαν τὴν γῆν καὶ ποιῶν κρίσιν ἐν ἀνθρώπου ὁρώμενος σχήματι, τὶς ἂν ἕτερος ἀναγορεύοιτο, εἰ μὴ φάναι θέμις τὸ πρῶτον τῶν ὅλων αἴτιον, ἢ μόνος ὁ προὼν αὐτοῦ λόγος; περὶ οὗ καὶ ἐν ψαλμοῖς ἀνείρηται· „ἀπέςειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν." Τοῦτον δεύτερον μετὰ τὸν πατέρα Κύριον σαφέστατα Μωϋσῆς ἀναγορεύει λέγων· „ἔβρεξε Κύριος ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον καὶ πῦρ παρὰ Κυρίου." Τοῦτον καὶ τῷ Ἰακὼβ αὖθις ἐν ἀνδρὸς φανέντα σχήματι, Θεὸν ἡ θεία προσαγορεύει γραφὴ, φάσκοντα τῷ Ἰακώβ. „Οὐκέτι κληθήσεται τὸ ὄνομά σου Ἰακὼβ, ἀλλ᾽ Ἰσραὴλ ἔςαι τὸ ὄνομά σου, ὅτι ἐνίσχυ-

σχυσας μετὰ Θεοῦ. Ὅτε καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόποῦ ἐκείνου, εἶδος Θεοῦ, λέγων· „ εἶδον γὰρ τὸν Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μοῦ." Καὶ μὴν οὐδ' ὑποβεβηκότων ἀγγέλων καὶ λειτουργῶν Θεοῦ τὰς ἀναγραφείσας θεοφανείας ὑπονοεῖν θέμις. Ἐπεὶ καὶ τούτων ὅταν τις ἀνθρώποις παραφαίνηται, οὐκ ἐπικρύπτεται ἡ γραφὴ, ὀνομαςὶ οὐ Θεὸν, οὐδὲ μὴν Κύριον, ἀλλ' Ἀγγέλους χρηματίσαι λέγουσα, ὡς διὰ μυρίων μαρτυριῶν πιςῶσασθαι ῥᾴδιον. Τοῦτον καὶ Μωϋσέως διάδοχος Ἰησοῦς, ὡς ἂν τῶν οὐρανίων Ἀγγέλων καὶ Ἀρχαγγέλων τῶν τε ὑπερκοσμίων δυνάμεων ἡγούμενον, καὶ ὡσανεὶ τοῦ πατρὸς ὑπάρχοντα δύναμιν καὶ σοφίαν, καὶ τὰ δευτερεῖα τῆς κατὰ πάντων βασιλείας τε καὶ ἀρχῆς ἐμπεπιςευμένον, ἀρχιςράτηγον δυνάμεως Κυρίου ὀνομάζει, οὐκ ἄλλως αὐτὸν ἢ αὖθις ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι θεωρήσας. Γέγραπται γοῦν· „ Καὶ ἐγενήθη ὡς ἦν Ἰησοῦς ἐν Ἰεριχῷ, καὶ ἀναβλέψας ὁρᾷ ἄνθρωπον ἑςηκότα κατέναντι αὐτοῦ. Καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. Καὶ προσελθὼν Ἰησοῦς, εἶπεν· Ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; καὶ εἶπεν αὐτῷ· Ἐγὼ ἀρχιςράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα. Καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ· Δέσποτα, τί προςάσσεις τῷ σῷ οἰκέτῃ; καὶ εἶπεν ὁ ἀρχιςράτηγος Κυρίου πρὸς Ἰησοῦν· Λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σοῦ. Ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕςηκας, τόπος ἅγιός ἐςι. Ἔνθα καὶ ἐπιςήσεις ἀπὸ τῶν αὐτῶν ῥημάτων, ὅτι μὴ ἕτερος οὗτος εἴη τοῦ καὶ Μωϋσεῖ κεχρηματικότος. Ὅτι δὴ αὐτοῖς ῥήμασι καὶ ἐπὶ τῷδε φησὶν ἡ γραφή·" Ὡς δὲ εἶδε Κύριος ὅτι προσάγει

γει ἰδεῖν, ἐκάλεσεν αὐτὸν Κύριος ἐκ τοῦ βάτου λέγων. Μωϋσῆ, Μωϋσῆ. Ὁ δὲ εἶπε· τί ἐςι; καὶ εἶπε· ἐγγίσῃς ὧδε· λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕςηκας ἐπ' αὐτοῦ, γῆ ἁγία ἐςί. Καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων σοῦ, ὁ Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ Θεὸς Ἰακώβ. Καὶ ὅτι γέ ἐςιν οὐσία τὶς προκόσμιος ζῶσα καὶ ὑφεςῶσα, ἡ τῷ πατρὶ καὶ Θεῷ τῶν ὅλων εἰς τὴν τῶν γεννητῶν ἁπάντων δημιουργίαν ὑπηρετησαμένη, λόγος Θεοῦ καὶ σοφία χρηματίζουσα, πρὸς ταῖς τεθειμέναις ἀποδείξεσιν, ἔτι καὶ αὐτῆς ἐξ ἰδίου προσώπου τῆς σοφίας ἐπακοῦσαι πάρεςι, διὰ Σολομῶντος λευκότατα ὧδέ πως τὰ περὶ ἑαυτῆς μυςαγωγούσης. „Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην· δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάςαι γράφουσι δικαιοσύνην· δι' ἐμοῦ μεγιςᾶνες μεγαλύνονται, καὶ τύραννοι δι' ἐμοῦ κρατοῦσι γῆς. Οἷς ἐπιλέγει· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με. Ἡνίκα ἡτοίμαζε τὸν οὐρανὸν, συμπαρήμην αὐτῷ, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' οὐρανὸν, ἤμην σὺν αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην ᾗ προσέχαιρε. Καθημέραν δὲ ηὐφραινόμην ἐνώπιον αὐτοῦ ἐν παντὶ καιρῷ, ὅτε ηὐφραίνετο τὴν οἰκουμένην συντελέσας." Ὅτι μὲν οὖν προῆν, καὶ τισὶν εἰ καὶ μὴ τοῖς πᾶσιν ὁ Θεῖος λόγος ἐπεφαίνετο, ταῦθ' ἡμῖν ὡς ἐν βραχέσιν εἰρήσθω.

V.

Ex Eusebii
Vita Conſtantini.

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ
ΕΙΣ ΤΟΝ ΒΙΟΝ
ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥ
ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

---

1. *De Conſtantino.*

Περὶ τῆς Κωνσταντίνου τελευτῆς.

(*Prooemium.*) Ἄρτι μὲν τῷ μεγάλῳ βασιλεῖ παντοίων δεκάδων διττῶν τε καὶ τριττῶν περιόδους ἐν ἑορτῶν εὐωχίαις πᾶν γένος ἀνθρώπων ἐπανηγύριζεν, ἄρτι δὲ καὶ ἡμεῖς αὐτοὶ τὸν καλλίνικον μέσον ἀπολαβόντες Θεοῦ λειτουργῶν συνόδου, εἰκοσαετηρικοῖς ὕμνοις ἐγεραίρομεν, ἤδη δὲ καὶ τριακονταετηρικοὺς αὐτῷ λόγων πλέξαντες στεφάνους, ἐν αὐτοῖς πρώην βασιλείοις τὴν ἱερὰν κεφαλὴν ἀνεστέφομεν· νυνὶ δὲ ὁ λόγος ἤδη ἀμηχανῶν ἕστηκε, ποθῶν μέν τι τῶν συνήθων προσφθέγξασθαι, ἀπορῶν δ᾽ ὅποι καὶ τράποιτο, μόνῳ τε τῷ θαύματι τῆς ξενιζούσης ὄψεως καταπεπληγμένος. Ὅποι γὰρ ἂν ἀτενὲς ἐμβλέψειεν, ἤν τε πρὸς ἕω, ἤν τε πρὸς ἑσπέ-

ραν,

ραν, ἥν τ' ἐπὶ γῆς αὐτῆς ὅλης, ἥν τε πρὸς οὐρανὸν αὐτὸν, πάντη καὶ πανταχοῦ τὸν μακάριον αὐτῇ συνόντα βασιλείᾳ θεωρεῖ· γῆς μὲν γὰρ τοὺς αὐτοῦ παῖδας οἷά τινας νέους λαμπτῆρας, τῶν αὐτοῦ μαρμαρυγῶν συνορᾷ πληροῦντας τὸ πᾶν, αὐτόν τε ζῶντα δυνάμει καὶ τὸν σύμπαντα διακυβερνῶντα βίον, κρειττόνως ἢ πρόσθεν, τῇ τῶν παίδων πολυπλασιασθέντα διαδοχῇ· οἳ καισάρων μὲν ἔτι πρότερον μετεῖχον τιμῆς, νυνὶ δ' ὅλον αὐτὸν ἐνδυσάμενοι, θεοσεβείας ἀρετῇ αὐτοκράτορες, αὔγουστοι, σεβαστοὶ, βασιλεῖς, τοῖς τοῦ πατρὸς ἐμπρέποντες καλλωπίσμασιν, ἀνεδείχθησαν.

Πρὸς Κῦρον τῶν Περσῶν βασιλέα, καὶ Ἀλέξανδρον τὸν Μακεδόνα σύγκρισις.

(Lib. I. c. 7.) Περσῶν μὲν δὴ Κῦρον παλαιὸς ἀνυμνεῖ λόγος περιφανῆ ἀποφανθῆναι τῶν πώποτε. Ἀλλ' ἐπεὶ μὴ ταῦτα, τέλος δ' ἐχρῆν μακαρίου [ἀνυμνεῖν], φασὶν αὐτὸν οὐκ αἴσιον, αἰσχρὸν δὲ καὶ ἐπονείδιστον ὑπὸ γυναικὸς θάνατον ὑποστῆναι. Μακεδόνων Ἀλέξανδρον Ἑλλήνων ᾄδουσι παῖδες, μυρία παντοίων ἐθνῶν γένη καταστρέψασθαι, θᾶττον δ' ἢ συντελέσαι εἰς ἄνδρας, ὠκύμορον ἀποβῆναι, κώμοις ἀποληφθέντα καὶ μέθαις. Δύο μὲν οὗτος πρὸς τοῖς τριάκοντα τὴν πᾶσαν ζωὴν ἐνιαυτοῖς ἐπλήρου· τούτων δὲ τὴν τρίτην αὖ πλέον ὁ τῆς βασιλείας περιώριζε χρόνος· ἐχώρει δὲ δι' αἱμάτων, ἀνὴρ σκηπτοῦ δίκην ἀφειδῶς ἔθνη καὶ πόλεις ὅλας ἡβηδὸν ἐξανδραποδιζόμενος. Ἄρτι δὲ μικρὸν ἀνθούσης αὐτῷ τῆς ὥρας καὶ τὰ παιδικὰ πενθοῦντι, δεινῶς τὸ χρεὼν ἐπιστὰν, ἄτεκνον, ἄῤῥιζον, ἀνέστιον, ἐπ'

ἐπ' ἀλλοδαπῆς καὶ πολεμίας αὐτὸν, ὡς ἂν μὴ εἰς μακρὸν λυμαίνοιτο τὸ θνητῶν γένος, ἠφάνιζεν. Αὐτίκα δ' ἡ βασιλεία κατετέμνετο, τῶν θεραπόντων ἑκάςου μοῖράν τινα παρασπῶντος καὶ διαρπάζοντος ἑαυτῷ. Ἀλλ' ὁ μὲν ἐπὶ τοιούτοις ἀνυμνεῖται χοροῖς.

Ὅτι τῆς οἰκουμένης πάσης σχεδὸν ἐκράτησεν.

(c. 8.) Ὁ δ' ἡμέτερος βασιλεὺς ἐξ ἐκείνου μὲν ἤρχετο, ἐξ οὗπερ ὁ Μακεδὼν ἐτελεύτα, ἐδιπλασίαζε δὲ τῷ χρόνῳ τὴν ἐκείνου ζωὴν, τριπλάσιον δ' ἐποιεῖτο τῆς βασιλείας τὸ μῆκος. Ἡμέροις γέ τοι καὶ σώφροσι θεοσεβείας παραγγέλμασι τὸν αὐτοῦ φραξάμενος ςρατὸν, ἐπῆλθε μὲν τὴν Βρεττανῶν καὶ τοὺς ἐν αὐτῷ οἰκοῦντας ὠκεανῷ τῷ κατὰ δύοντα ἥλιον περιοριζομένῳ, τό, τε Σκυθικὸν ὑπηγάγετο πᾶν, ὑπ' αὐτῇ ἄρκτῳ μυρίοις βαρβάρων ἐξαλλάττουσι γένεσι τεμνόμενον. Ἤδη δὲ καὶ μεσημβρίας ἐπ' ἔσχατα τὴν ἀρχὴν ἐκτείνας, εἰς αὐτοὺς Βλέμμυάς τε καὶ Αἰθίοπας· οὐδὲ τῶν πρὸς ἀνίσχοντα ἥλιον ἀλλοτρίαν ἐποιεῖτο τὴν κτῆσιν. Ἐπ' αὐτὰ δὲ τὰ τῆς οἰκουμένης ὅλης τέρματα, Ἰνδῶν μέχρι τῶν ἐξωτάτω, τῶν περικύκλῳ περιοίκων τοῦ παντὸς τῆς γῆς τῷ βίῳ ςοιχείου, φωτὸς εὐσεβείας ἀκτῖσιν ἐκλάμπων, εἶχεν ὑπηκόους ἅπαντας τοπάρχας, ἐθνάρχας, καὶ σατράπας βαρβάρων ἐθνῶν, ἐθελοντὶ ἀσπαζομένους καὶ χαίροντας, τοῖς τε παρ' αὐτῶν δώροις διαπρεσβευομένους, καὶ τὴν πρὸς αὐτὸν γνῶσίν τε καὶ φιλίαν περὶ πλείςου ποιουμένους, ὥςε καὶ γραφαῖς εἰκόνων αὐτὸν παρ' αὐτοῖς τιμᾶν, ἀνδριάντων τε ἀναθήμασι, μόνον τε αὐτοκρατόρων παρὰ τοῖς πᾶσι Κωνςαντῖνον γνωρίζεσθαί τε καὶ βοᾶσθαι. Ὁ δὲ καὶ μέχρι τῶν τῇδε, βασιλικοῖς

προσ-

προσφωνήμασι τὸν ἑαυτοῦ Θεὸν ἀνεκήρυττε σὺν παῤῥησίᾳ τῇ πάσῃ.

Ὅτι μόνας τὰς Κωνςαντίνου νῦν ἱςόρησεν θεοφιλεῖς πράξεις.

(c. 10.) Διὸ προσήκοι ἂν εἴ τισιν ἄλλοις, καὶ ἡμῖν αὐτοῖς, ἀγαθῶν ἄφθονον ἀκοὴν κηρύττειν ἅπασιν, οἷς ἡ τῶν καλῶν μίμησις πρὸς τὸν Θεῖον ἔρωτα διεγείρει τὸν πόθον. Οἱ μὲν γὰρ βίους ἀνδρῶν οὐ σεμνῶν, καὶ πράξεις πρὸς ἠθῶν βελτίωσιν ἀλυσιτελεῖς, χάριτι τῇ πρός τινας ἢ ἀπεχθείᾳ, τάχα δέ που καὶ πρὸς ἐπίδειξιν τῆς σφῶν αὐτῶν παιδεύσεως συναγαγόντες, κόμπῳ ῥημάτων εὐγλωττίας, αἰσχρῶν πραγμάτων ὑφηγήσεις οὐκ εἰς δέον ἐξετραγῴδησαν, τοῖς μὴ μετασχεῖν τῶν κακῶν κατὰ Θεὸν εὐτυχήσασιν, ἔργων οὐκ ἀγαθῶν, ἀλλὰ λήθῃ καὶ σκότῳ σιωπᾶσθαι ἀξίων διδάσκαλοι καταςάντες. Ἐμοὶ δὲ ὁ μὲν τῆς φράσεως λόγος, εἰ καὶ πρὸς τὸ μέγεθος τῆς τῶν δηλουμένων ἐμφάσεως ἐξασθενεῖ, φαιδρύνοιτο γοῦν ὅμως καὶ ψιλῇ τῇ τῶν ἀγαθῶν πράξεων ἀπαγγελίᾳ· ἡ δέ γε τῶν θεοφιλῶν διηγημάτων ὑπόμνησις οὐκ ἀνόνητον, ἀλλὰ καὶ σφόδρα βιωφελῆ τοῖς τὴν ψυχὴν εὖ παρεσκευασμένοις πορίεῖται τὴν ἔντευξιν.

(c. 11.) Τὰ μὲν οὖν πλεῖςα καὶ βασιλικὰ τοῦ τρισμακαρίου διηγήματα, συμβολάς τε καὶ παρατάξεις πολέμων, ἀριςείας τε καὶ νίκας καὶ τρόπαια τὰ κατ' ἐχθρῶν, θριάμβους τε ὁπόσους ἤγαγε, τά τε πρὸς τὸ συμφέρον ἑκάςου διωρισμένα, νόμων τε διατάξεις, ἃς ἐπὶ λυσιτελείᾳ τῆς τῶν ἀρχομένων πολιτείας συνετάττετο, πλείςους τ' ἄλλους βασιλικῶν ἄθλων ἀγῶνας, τοὺς δὲ παρὰ τοῖς πᾶσι μνημονευομένους, παρήσειν μοι δοκῶ, τοῦ τῆς

προ-

προκειμένης ἡμῖν πραγματείας σκοποῦ μόνα τὰ πρὸς τὸν θεοφιλῆ συντείνοντα βίον λέγειν τε καὶ γράφειν ὑποβάλλοντος. Μυρίων δ' ὅσων ὄντων καὶ τούτων, τὰ καιριώτατα καὶ τοῖς μεθ' ἡμᾶς ἀξιομνημόνευτα τῶν εἰς ἡμᾶς ἐλθόντων ἀναλεξάμενος, τούτων αὐτῶν ὡς οἷόν τε διὰ βραχυτάτων ἐκθήσομαι τὴν ὑφήγησιν· τοῦ καιροῦ λοιπὸν ἐπιτρέποντος ἀκωλύτως παντοίαις φωναῖς τὸν ὡς ἀληθῶς μακάριον ἀνυμνεῖν, ὅτι μὴ τοῦτο πράττειν ἐξῆν πρὸ τούτου, τῷ μὴ μακαρίζειν ἄνδρα πρὸ τελευτῆς διὰ τὸ τῆς τοῦ βίου τροπῆς ἄδηλον παρηγγέλθαι. Κεκλήσθω δὲ Θεὸς βοηθὸς, οὐράνιός τε συνεργὸς ἡμῖν ἐμπνείτω λόγος. Ἐξ αὐτῆς δ' ἤδη πρώτης ἡλικίας τοῦ ἀνδρὸς ὧδέ πη τῆς γραφῆς ἀπαρξώμεθα.

2. *De crucis signo in aëre et de labaro.*

Ὅτι τὰς τῶν εἰδωλολατρησάντων καταστροφὰς ἐνθυμηθεὶς, μᾶλλον τὸν Χριστιανισμὸν ἐξελέξατο.

(L. I. c. 27.) Εὖ δ' ἐννοήσας ὡς κρείττονος ἢ κατὰ στρατιωτικὴν δέοι αὐτῷ βοηθείας, διὰ τὰς κακοτέχνους καὶ γοητικὰς μαγγανείας τὰς παρὰ τῷ τυράννῳ σπουδαζομένας, Θεὸν ἀνεζήτει βοηθόν, τὰ μὲν ἐξ ὁπλίσεων καὶ στρατιωτικοῦ πλήθους δεύτερα τιθέμενος, τὴν δ' ἐκ Θεοῦ συνεργίαν ἄμαχον εἶναι καὶ ἀπαράθραυστον. Ἐννοεῖ δῆτα ὁποῖον δέοι Θεὸν ἐπιγράψασθαι βοηθόν, ζητοῦντι δ' αὐτῷ ἔννοιά τις ὑπεισῆλθεν· ὡς πλειόνων πρότερον τῆς ἀρχῆς ἐφαψαμένων, οἱ μὲν πλείοσι θεοῖς τὰς σφῶν αὐτῶν ἀναρτήσαντες ἐλπίδας, θυσίαις τε καὶ ἀναθήμασι τούτους θεραπεύσαντες, ἀπατηθέντες ταπρῶτα διὰ μαντειῶν

τειῶν κεχαρισμένων, χρησμῶν τε τὰ αἴσια ἐπαγγελλομένων αὐτοῖς, τέλος οὐκ αἴσιον εὕραντο, οὐδέ τις Θεῶν πρὸς τὸ μὴ θεηλάτοις ὑποβληθῆναι καταςροφαῖς, δεξιὸς αὐτοῖς παρέςη· μόνον δὲ τὸν ἑαυτοῦ πατέρα τὴν ἐναντίαν ἐκείνοις τραπέντα, τῶν μὲν πλάνην καταγνῶναι, αὐτὸν δὲ τὸν ἐπέκεινα τῶν ὅλων Θεὸν διὰ πάσης τιμήσαντα ζωῆς, σωτῆρα καὶ φύλακα τῆς βασιλείας, ἀγαθοῦ τε παντὸς χορηγὸν εὑρέσθαι. Ταῦτα παρ' ἑαυτῷ διακρίνας, εὖ τε λογισάμενος, ὡς οἱ μὲν πλήθει Θεῶν ἐπιθαῤῥήσαντες, καὶ πλείοσιν ἐπιπεπτώκασιν ὀλέθροις, ὡς μηδὲ γένος, μηδὲ φυὴν, μὴ ῥίζαν αὐτοῖς, μηδ' ὄνομα, μηδὲ μνήμην ἐν ἀνθρώποις ἀπολειφθῆναι, ὁ δὲ πατρῷος αὐτῷ Θεὸς τῆς αὐτοῦ δυνάμεως ἐναργῆ καὶ πάμπολλα δείγματα εἴη δεδωκὼς τῷ αὐτοῦ πατρί· ἀλλὰ καὶ τοὺς ἤδη καταςρατεύσαντας πρότερον τοῦ τυράννου διασκεψάμενος, σὺν πλήθει μὲν Θεῶν τὴν παράταξιν πεποιημένους, αἰσχρὸν δὲ τέλος ὑπομείναντας· ὁ μὲν γὰρ αὐτῶν σὺν αἰσχύνῃ τῆς συμβολῆς ἄπρακτος ἀνεχώρει, ὁ δὲ καὶ μέσοις αὐτοῖς τοῖς ςρατεύμασι κατασφαγεὶς, πάρεργον ἐγένετο θανάτου· ταῦτα οὖν πάντα συναγαγὼν τῇ διανοίᾳ, τὸ μὲν περὶ τοὺς μηδὲν ὄντας Θεοὺς ματαιάζειν, καὶ μετὰ τοσοῦτον ἔλεγχον ἀποπλανᾶσθαι, μωρίας ἔργον ὑπελάμβανε, τὸν δὲ πατρῷον τιμᾶν μόνον ᾤετο δεῖν Θεόν.

Ὅπως εὐξαμένῳ τὴν ὀπτασίαν ὁ Θεὸς παρέσχε, ςαυρὸν ἐκ φωτὸς ἐν οὐρανῷ, μεσημβρίας οὔσης, καὶ γραφὴν τούτῳ νικᾶν παραινοῦσαν.

(c. 28.) Ἀνεκαλεῖτο δῆτα ἐν εὐχαῖς τοῦτον ἀντιβολῶν καὶ ποτνιώμενος, φῆναι αὐτῷ ἑαυτὸν ὅςις εἴη, καὶ τὴν ἑαυ-

ἑαυτοῦ δεξιὰν τοῖς προκειμένοις ἐπορέξαι. Εὐχομένῳ δὲ ταῦτα καὶ λιπαρῶς ἱκετεύοντι τῷ βασιλεῖ, θεοσημία τις ἐπιφαίνεται παραδοξοτάτη· ἣν τάχα μὲν ἄλλου λέγοντος, οὐ ῥᾴδιον ἦν ἀποδέξασθαι, αὐτοῦ δὲ τοῦ νικητοῦ βασιλέως, τοῖς τὴν γραφὴν διηγουμένοις ἡμῖν μακροῖς ὕϛερον χρόνοις, ὅτε ἠξιώθημεν τῆς αὐτοῦ γνώσεώς τε καὶ ὁμιλίας, ἐξαγγείλαντος, ὅρκοις τε πιϛωσαμένου τὸν λόγον, τίς ἂν ἀμφιβάλοι μὴ οὐχὶ πιϛεῦσαι τῷ διηγήματι; μάλισθ' ὅτε καὶ ὁ μετὰ ταῦτα χρόνος ἀληθῆ τῷ λόγῳ παρέσχε τὴν μαρτυρίαν. Ἀμφὶ μεσημβρινὰς ἡλίου ὥρας, ἤδη τῆς ἡμέρας ἀποκλινούσης, αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν ἔφη ἐν αὐτῷ οὐρανῷ ὑπερκείμενον τοῦ ἡλίου ϛαυροῦ τρόπαιον, ἐκ φωτὸς συνιϛάμενον, γραφήν τε αὐτῷ συνῆφθαι, λέγουσαν· τούτῳ νίκα. Θάμβος δ' ἐπὶ τῷ θεάματι κρατῆσαι αὐτόν τε καὶ τὸ ϛρατιωτικὸν ἅπαν, ὃ δὴ ϛελλομένῳ ποι πορείαν συνείπετό τε καὶ θεωρὸν ἐγίνετο θαύματος.

Ὅπως ὁ Χριϛὸς τοῦ Θεοῦ καθ' ὕπνους αὐτῷ φανεὶς, ὁμοιοτρόπῳ τοῦ ϛαυροῦ σημείῳ κεχρῆσθαι κατὰ τοὺς πολέμους προσέταξε.

(c. 29.) Καὶ δὴ διαπορεῖν πρὸς ἑαυτὸν ἔλεγε, τί ποτε εἴη τὸ φάσμα. Ἐνθυμουμένῳ δ' αὐτῷ καὶ ἐπὶ πολὺ λογιζομένῳ, νὺξ ἐπῄει καταλαβοῦσα· ἐνταῦθα δὴ ὑπνοῦντι αὐτῷ, τὸν Χριϛὸν τοῦ Θεοῦ σὺν τῷ φανέντι κατ' οὐρανὸν σημείῳ ὀφθῆναί τε καὶ παρακελεύσασθαι, μίμημα ποιησάμενον τοῦ καθ' οὐρανὸν ὀφθέντος σημείου, τούτῳ πρὸς τὰς τῶν πολεμίων συμβολὰς ἀλεξήματι χρῆσθαι.

Κατασκευὴ τοῦ αὐτοῦ ϛαυρικοῦ σημείου.

(c. 30.) Ἅμα δ' ἡμέρᾳ διαναϛὰς, τοῖς φίλοις ἐξηγόρευε τὸ ἀπόῤῥητον. Κἄπειτα χρυσοῦ καὶ λίθων πολυτελῶν δημιουργοὺς συγκαλέσας, μέσος αὐτὸς καθιζάνει, καὶ τοῦ σημείου τὴν εἰκόνα φράζει, ἀπομιμεῖσθαί τε αὐτὴν χρυσῷ καὶ πολυτελέσι λίθοις διεκελεύετο· ὃ δὴ καὶ ἡμᾶς ὀφθαλμοῖς ποτὲ συνέβη παραλαβεῖν.

Ἔκφρασις ϛαυροειδοῦς σημείου, ὅπερ νῦν οἱ Ῥωμαῖοι λάβαρον καλοῦσιν.

(c. 31.) Ἦν δὲ τοιῷδε σχήματι κατεσκευασμένον· ὑψηλὸν δόρυ χρυσῷ κατημφιεσμένον, κέρας εἶχεν ἐγκάρσιον, ϛαυροῦ σχήματι πεποιημένον· ἄνω δὲ πρὸς ἄκρῳ τοῦ παντὸς, ϛέφανος ἐκ λίθων πολυτελῶν καὶ χρυσοῦ συμπεπλεγμένος κατεϛήρικτο, καθ' οὗ τῆς σωτηρίου ἐπηγορίας τὸ σύμβολον, δύο ϛοιχεῖα τὸ Χριϛοῦ παραδηλοῦντα ὄνομα, διὰ τῶν πρώτων ὑπεσήμαινον χαρακτήρων, χιαζομένου τοῦ ρ κατὰ τὸ μεσαίτατον· ἃ δὴ κατὰ τοῦ κράνους φέρειν εἴωθε κἂν τοῖς μετὰ ταῦτα χρόνοις ὁ βασιλεύς. Τοῦ δὲ πλαγίου κέρως, τοῦ κατὰ τὸ δόρυ πεπαρμένου, ὀθόνη τὶς ἐκκρεμὴς ἀπῃώρητο, βασιλικὸν ὕφασμα, ποικιλίᾳ συνημμένων πολυτελῶν λίθων, φωτὸς αὐγαῖς ἐξαϛραπτόντων, καλυπτόμενον· σὺν πολλῷ τε καθυφασμένῳ χρυσῷ, ἀδιήγητόν τι χρῆμα τοῖς ὁρῶσι παρεῖχε τοῦ κάλλους. Τοῦτο μὲν οὖν τὸ φᾶρος τοῦ κέρως ἐξημμένον, σύμμετρον μήκους τε καὶ πλάτους περιγραφὴν ἀπελάμβανε, τὸ δ' ὄρθιον δόρυ τῆς κάτω ἀρχῆς ἐπὶ πολὺ μηκυνόμενον, ἄνω μετέωρον ὑπὸ τῷ τοῦ ϛαυροῦ τροπαίῳ πρὸς αὐτοῖς ἄκροις τοῦ διαγράφεν-

φέντος ὑφάσματος, τὴν τοῦ θεοφιλοῦς βασιλέως εἰκόνα χρυσῆν μέχρι στέρνων, τῶν τ' αὐτοῦ παίδων ὁμοίως ἔφερε. Τούτῳ μὲν τῷ σωτηρίῳ σημείῳ, πάσης ἀντικειμένης καὶ πολεμίας δυνάμεως ἀμυντηρίῳ διαπαντὸς ἐχρῆτο βασιλεὺς, τῶν τε στρατοπέδων ἁπάντων ἡγεῖσθαι τούτου ὁμοιώματα, προσέταττεν.

Ὅπως κατηχηθεὶς Κωνσταντῖνος, τὰς θείας γραφὰς ἀνεγίνωσκεν.

(c. 32.) Ἀλλὰ ταῦτα μικρὸν ὕστερον. Κατὰ δὲ τὸν δηλωθέντα χρόνον τὴν παράδοξον καταπλαγεὶς ὄψιν, οὐδ' ἕτερον Θεὸν ἢ τὸν ὀφθέντα δοκιμάσας σέβειν, τοὺς τῶν αὐτοῦ λόγων μύστας ἀνεκαλεῖτο, καὶ τίς εἴη Θεὸς αὐτὸς, ἠρώτα, τίς τε ὁ τῆς ὀφθείσης ὄψεως τοῦ σημείου λόγος. Οἱ δὲ τὸν μὲν εἶναι Θεὸν ἔφασαν, Θεοῦ τοῦ ἑνὸς καὶ μόνου μονογενῆ παῖδα, τὸ δὲ σημεῖον τὸ φανὲν, σύμβολον μὲν ἀθανασίας εἶναι, τρόπαιον δ' ὑπάρχειν τῆς κατὰ τοῦ θανάτου νίκης, ἣν καὶ ἐποιήσατο ποτὲ παρελθὼν ἐπὶ γῆς· ἐδίδασκόν τε τὰς τῆς παρόδου αἰτίας, τὸν ἀκριβῆ λόγον αὐτῷ τῆς κατ' ἀνθρώπους οἰκονομίας ὑποτιθέμενοι. Ὁ δὲ καὶ τούτοις μὲν ἐμαθητεύετο τοῖς λόγοις, θαῦμα δ' εἶχε τῆς ὀφθαλμοῖς αὐτῷ παραδοθείσης θεοφανείας· συμβάλλων τε τὴν οὐράνιον ὄψιν τῇ τῶν λεγομένων ἑρμηνείᾳ, τὴν διάνοιαν ἐστηρίζετο, θεοδίδακτον αὐτῷ τὴν τούτων γνῶσιν παρεῖναι πειθόμενος· καὶ αὐτὸς δ' ἤδη τοῖς ἐνθέοις ἀναγνώσμασι προσέχειν ἠξίου. Καὶ δὴ τοὺς τοῦ Θεοῦ ἱερέας παρέδρους αὐτῷ ποιησάμενος, τὸν ὀφθέντα Θεὸν πάσαις δεῖν ᾤετο θεραπείαις τιμᾷν. Κᾄπειτα φραξάμενος ταῖς εἰς αὐτὸν ἀγαθαῖς ἐλπίσιν, ὥρμητο λοιπὸν τοῦ τυραννικοῦ πυρὸς τὴν ἀπειλὴν κατασβέσων.



